πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας·
ἀλλ' ἐκράτησεν Ζεὺς ἀγοραῖος,
νικᾷ δ' ἀγαθῶν
ἔρις ἡμετέρα διὰ παντός.

ΧΟΡΟΣ.

τὰν δ' ἄπληστον κακῶν ἀντ. β'.
μήποτ' ἐν πόλει στάσιν
τᾷδ' ἐπεύχομαι βρέμειν.
μηδὲ πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν
δι' ὀργὰν ποινᾶς ἀντιφόνους ἄτας
ἁρπαλίσαι πόλεως.
χάρματα δ' ἀντιδιδοῖεν
κοινοφιλεῖ διανοίᾳ,
καὶ στυγεῖν μιᾷ φρενί.

πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος.

ΑΘΗΝΑ.

ἆρα φρονοῦσιν γλώσσης ἀγαθῆς — ἀντισύστ. β΄.
ὁδὸν εὑρίσκειν ἐκ τῶν φοβερῶν
τῶνδε προςώπων μέγα κέρδος ὁρῶ
τοῖςδε πολίταις; τάςδε γὰρ εὔφρονας
εὔφρονες ἀεὶ μέγα τιμῶντες
καὶ γῆ καὶ πόλις ὀρθοδίκαιοι
πρέψετε πάντως διάγοντες.

ΧΟΡΟΣ.

χαίρετε χαίρετ' ἐν αἰσιμίαισι πλούτου, — στρ. γ΄.
χαίρετ' ἀστικὸς λεώς,
ἴκταρ ἥμενοι Διός,
παρθένου φίλας φίλοις
εὐφρονοῦντες ἐν χρόνῳ.
Παλλάδος δ' ὑπὸ πτεροῖς
ὄντας ἅζεται πατήρ.

ΑΘΗΝΑ.

χαίρετε χὐμεῖς· προτέραν δ' ἐμὲ χρὴ — ἀντισύστ. α΄.
στείχειν θαλάμους ἀποδείξουσαν
πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν.
ἴτε, καὶ σφαγίων τῶνδ' ὑπὸ σεμνῶν
κατὰ γῆς σύμεναι, τὸ μὲν ἀτηρὸν
χώρας κατέχειν, τὸ δὲ κερδαλέον
πέμπειν πόλεως ἐπὶ νίκῃ.
ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι
παῖδες Κραναοῦ, ταῖςδε μετοίκοις.
εἴη δ' ἀγαθῶν
ἀγαθὴ διάνοια πολίταις.

ΧΟΡΟΣ.

χαίρετε, χαίρετε δ', αὖθις ἐπανδιπλοΐζω; — ἀντ. γ΄.
πάντες οἱ κατὰ πτόλιν,
δαίμονές τε καὶ βροτοί,
Παλλάδος πόλιν νέμον-

τες· μετοικίαν δ' ἐμὴν
εὖ σέβοντες, οὔτι μέμ-
ψεσθε συμφορὰς βίου.

ΑΘΗΝΑ.

αἰνῶ τε μύθους τῶνδε τῶν κατευγμάτων
πέμψω τε φέγγη λαμπάδων σελασφόρων
εἰς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους,
ξὺν προσπόλοισιν, αἵτε φρουροῦσιν βρέτας
τοὐμὸν δικαίως. ὄμμα γὰρ πάσης χθονὸς
Θησῇδος ἐξίκοιτ' ἄν, εὐκλεὴς λόχος
παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων
. . . .
φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασιν
τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρός,
ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.

ΠΡΟΠΟΜΠΟΙ.

βᾶτε δόμῳ, μεγάλαι φιλότιμοι στρ. α'.
Νυκτὸς παῖδες ἄπαιδες, ὑπ' εὔφρονι πομπᾷ,

εὐφαμεῖτε δέ, χωρῖται.

γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισιν ἀντ. α'.
τιμαῖς καὶ θυσίαις περίσεπτα τυχοῦσαι.

εὐφαμεῖτε δὲ πανδαμί.

ἵλαοι δὲ καὶ τᾷδ' εὔφρονες γᾷ στρ. β'.
δεῦρ' ἴτε, σεμναί, *σὺν* πυριδάπτῳ
λάμπᾳ τερπόμεναι καθ' ὁδόν.

ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων ἀντ. β'.

Παλλάδος ἀστοῖς· Ζεὺς ὁ πανόπτας
οὕτω Μοῖρά τε συγκατέβα.

ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

ΑΘΑΜΑΣ.

1.

Athenaeus VII. p. 316. B. *καὶ τρίπουν δὲ λέβητα Αἰσχύλος εἴρηκεν ἐν Ἀθάμαντι ἀπὸ ἁπλοῦ τοῦ πούς, ὡς νοῦς.* Idem II. p. 37. F. *ἦν γὰρ τὸ ἀρχαῖον δύο γένη τριπόδων, οὓς καλεῖσθαι λέβητας συνέβαινεν ἀμφοτέρους· ἐμπυριβήτης ὁ καὶ λοετροχόος· Αἰσχύλος*

τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης,
ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν·

ὁ δ' ἕτερος κρατὴρ καλούμενος. Habet hos versus etiam Eustathius p. 740, 10. (635, 42.) et Favorinus in v. *ἄπυροι τρίποδες.*

2.

Hesychius *ἀήτους, μεγάλας. Αἰσχύλος Ἀθάμαντι.* Codex *ἀθάμαντας.*

3.

Hesychius *ἀπαρτί, ἀπηρτισμένως, ἀκριβῶς. Αἰσχύλος Ἀθάμαντι.* Codex *ἀπαρτιᾶ ἀπαρτισμένος.*

4.

Hesychius *βρυαζούσης λεαίνης, ἐν Ἀθάμαντι, ἀκμαζούσης, ἢ ἐγκύμονος.* Incertum utrum ad Aeschyli an ad Sophoclis Athamantem pertineat.

ΑΙΓΥΠΤΙΟΙ.

5.

Etymol. Gud. p. 227, 37. (p. 1161. Gaisf.) et grammaticus in Crameri Anecd. Oxon. II. p. 443, 8. *Ζαγρεύς, ὁ μεγάλως ἀγρεύων. ὡς "πότνια γῆ Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων" ὁ τὴν Ἀλκμαιωνίδα γράψας ἔφη. τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σισύφῳ "Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ χαίρειν." ἐν δὲ Αἰγύπτῳ οὕτως αὐτὸν διὰ τὸν Πλούτωνα καλεῖ τὸν ἀγραῖον τὸν πολυξενώτατον διὰ τῶν κεκμηκότων.* Ad Aegyptios haec pertinent, *ἐν δὲ Αἰγυπτίοις οὕτως αὐτὸν τὸν Πλούτωνα καλεῖ.* In Crameri codice scriptum esse videtur *ἐν δὲ Αἰγύπτι* (hoc per errorem Cramerus Etymologico Gudiano tribuit) *τὸν Πλούτωνα καλεῖ* etc. V. ad *Θαλαμοποιούς.*

ΑΙΤΝΑΙΑΙ.

De Aeschyli Aetnaeis Opusc. VII. p. 315. Vita Aeschyli *ἐλθὼν τοίνυν εἰς Σικελίαν, Ἱέρωνος τότε Αἴτνην κτίζοντος, ἐπεδείξατο τὰς Αἰτναίας, οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικίζουσι τὴν πόλιν.* In indice fabularum Aeschyli *Αἰτναῖαι γνήσιοι, Αἰτναῖαι νόθοι.* Sic cod. Med.

6.

Stephanus Byzantius *Παλική, πόλις Σικελίας. — πλησίον δὲ αὐτῆς ἱερὸν Παλικῶν, οἵ εἰσι δαίμονές τινες, οὓς Αἰσχύλος ἐν Αἰτναίαις* (codices *Αἴτναις*) *γενεαλογεῖ Διὸς καὶ Θαλείας τῆς Ἡφαίστου.* Macrobius Saturn. V. 19. *Aeschyli tragoedia est, quae inscribitur Aetna. In hac quum de Palicis loqueretur, sic ait*

τί δῆτ᾽ ἐπ᾽ αὐτοῖς ὄνομα θήσονται βροτοί;
σεμνοὺς Παλικοὺς Ζεὺς ἐφίεται καλεῖν.
ἦ καὶ Παλικῶν εὐλόγως μενεῖ φάτις;
πάλιν γὰρ ἵκουσ᾽ ἐκ σκότου τόδ᾽ ἐς φάος.

V. 1. *ΤΙ ΔΗΤΕΠΑΥΤΟΙC ΟΝΟΜΑ ΘΗCΟΝΤΑΙΒΡΟΤΟΙ* codex Parisinus, de quo dixit Schneidewinus in Ritschelii Museo III. p. 75: vulgo *τί δῆθεν αὐτοῖς ὄνομα τίθενται βροτοί;* — V. 2. cod. Par. *ΕΦΥΕΤΑΙ.* — V. 3. *μενεῖ* Schneidewinus: vulgo *μένει.* — V. 4. cod. Par. *ΠΑΛΙΝ ΓΑΡΗΚΟΥCΕΚCΤΟΥCΤΟΔΕΙCΦΑΟC:* vulgo *πάλιν γὰρ ἵκουσ᾽ ἐκ σκότους τόδ᾽* (ita H. Stephanus: *τό γ᾽* ed. Camerarii) *ἐς φάος.*

7.

Hesychius et Favorinus *αἱμοί, δρυμοί· Αἰσχύλος Αἰτναίαις.* Codex Hesychii *ἀτιναίαις.* Suidas, cuius glossam omisit Gaisfordius, *αἱμοὺς τὰς δρόσους φησὶν ὁ Αἰσχύλος.* Zonaras p. 69. *αἱμοὺς τοὺς δρόσους λέγει ὁ Αἰσχύλος.* Veram cum Hesychio scripturam praebet grammaticus in Bekkeri Anecdotis p. 360, 30. *αἱμοὺς τοὺς δρυμοὺς Αἰσχύλος, ἴσως ἀπὸ τοῦ αὐτοῦ ἀφ᾽ οὗ καὶ ἡ αἱμασιὰ κέκληται.* Eustathius p. 1851, 26. (676, 6.) *ἀλλαχοῦ δὲ φέρεται καὶ ὅτι αἱμασιὰν Ἀττικοὶ καὶ Ἴωνες τὸ τειχίον φασί· τὸ δὲ ἔδαφος αυτὸ Δωριέας οἶμαι καλεῖν. καὶ ὅτι αἵμους τοὺς δρόμους*·(sic haec) *Αἰσχύλος λέγει, ἴσως, φασίν, ἀπὸ τοῦ αὐτοῦ ἀφ᾽ οὗ καὶ ἡ αἱμασιὰ κέκληται.*

8.

Hesychius *ἀναξίαν, βασίλειαν· Αἰσχύλος Αἰτναίαις.* Codex *λιανοίαις,* quod corruptum esse videns Favorinus nomen fabulae omisit.

9.

Hesychius et Favorinus *κρείττονας· τοὺς ἥρωας οὕτω λέγουσιν· δοκοῦσι δὲ κακότυχοί τινες εἶναι· διὰ τοῦτο καὶ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι μή τι βλάβωσι· καὶ οἱ θεοὶ δέ· Αἰσχύλος Αἰτναίαις.* Codex *αἰτναίας.* Pro *κακότυχοι* ex Photio p. 177, 8. scribendum *κακωτικοί.*

10.

Scholiastes Homeri ad Iliad. XVI. 183. *τὸν κάλαμον γὰρ τῶν βελῶν τινὲς*

ἠλακάτην φασί, καὶ Αἰσχύλος ἐν Αἰτναίαις (scriptum est *Αἴτναις*) *τοὺς ποταμοὺς πολυηλακάτους φησί.*

11.

Ioannes Lydus de mensibus p. 274. ed. Hasii, p. 116, 6. ed. Bekkeri, de Saturno, *καὶ βασιλεῦσαι δὲ αὐτὸν ἡ ἱστορία παραδίδωσιν, ὡς ἔμπροσθεν ἀφηγησάμην, κατά τε τὴν Λιβύην καὶ Σικελίαν* (*οἰκίσαι τε τοὺς τό*)*πους καὶ* (*πόλιν*) *κτίσαι, ὡς ὁ Χάραξ φησί, τὴ*(*ν τότε μὲν λεγ*)*ομένην Κρονίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὡς* (*Ἰ*)*σίγον*(*ος περὶ Ἑλλην*)*ικῶν θεῶν καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ* (*ετνη* codex) *π*(*αραδιδόασιν*). Vncis inclusa supplementa sunt Hasii.

ΑΛΚΜΗΝΗ.

Non commemoratur in indice.

12.

Hesychius *ἀποστάς, φυγών. Αἰσχύλος Ἰσθμιασταῖς καὶ Ἀλκμήνῃ.*

ΑΜΥΜΩΝΗ.

Satyrica fuit. Conf. Böttigeri Amaltheam vol. II. p. 280 s. et 283 ss.

13.

Ammonius in v. *γῆμαι* p. 37. *Αἰσχύλος ἐν Ἀμυμώνῃ*

σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δ' ἐμοί.

Apud Ammonium scriptum est *γαμεῖν δὲ μή*, emendate in Bachmanni Anecd. II. p. 375. Herodianus *περὶ ἀκυρολογίας* in Boissonadii Anecd. III. p. 263. *καὶ Αἰσχύλος ἐν ἀσυμβάνῃ· σοὶ μὲν γαμεῖσθαι μόρσιμον, ἐμοὶ δὲ γαμεῖν.* Etym. Gud. p. 125. *καὶ Αἰσχύλος ἐν Ἀμυμόνι ον ἔο μὲν γαμεῖσθαι μόρσιμον γαμεῖν δόμος.*

14.

Athenaeus XV. p. 690. C. *καὶ μήποτε οὐκ ἔστι μύρον ἡ βάκκαρις. Αἰσχύλος γὰρ ἐν Ἀμυμώνῃ ἀντιδιαστέλλων φησί*

κἄγωγε τὰς σὰς βακκάρεις τε καὶ μύρα.

15.

Hesychius *θρώσκων κνώδαλα, ἐκθορίζων καὶ σπερματίζων, γεννῶν. Αἰσχύλος Ἀμυμώνῃ.*

ΑΡΓΕΙΟΙ.

16.

Harpocration in v. *χλῆδος* p. 184, 22. Bekk. *Αἰσχύλος Ἀργείοις*

καὶ παλτὰ κἀγκυλητὰ καὶ χλῆδον βαλών.

Duo Bekkeri codices *ἀργείαις*, tertius cum Aldina *ἀργίαις*.

17.

Etym. M. p. 341, 5. *ἐνηλύσια, εὐκίνητα, καὶ ἤλυσιν, τὴν ἔλευσιν. Αἰσχύλος ἐν Ἀργείοις*

Καπανεύς μου καταλείπεται λοιποῖς ἀκέραυνος ἀρούρων ἐνηλυσίων ἀπέλιπεν.

οἱ δὲ τὰ κατασκηφθέντα, οὕτως εἰς τὸ ῥητορικόν. εἰς δὲ τοὺς ἐτυμολόγους εὗρον· ἐνηλύσια λέγεται εἰς ἃ κεραυνὸς εἰςβέβηκεν· ἃ καὶ ἀνατίθε-

ται Διῒ καταιβάτῃ, καὶ λέγεται ἄδυτα καὶ ἄβατα. In Aeschyli verbis *ἐνηλυσίων* Stanleius: Etym. *ἐπηλυσίων*. Hesychius *ἐνηλύσια· τὰ κατασκηφθέντα χωρία ἐνηλύσια λέγεται. ἔνιοι δὲ εὐκίνητα, παρὰ τὴν ἔλευσιν.* Idem *ἐνηλύσιος, ἐμβρόντητος, κεραυνόβλητος.* Deinde *ἀρούρων* Sylburgius: codices duo Gaisfordii cum editione principe et Aldina *ἀρόρων*. V. Opusc. VII. p. 209.

18.

Hesychius *ἀπόσκημμα, ἀπέρεισμα. Αἰσχύλος Ἀργείοις.* Codex *ἀργίας*.

19.

Hesychius *ἐμμέλεια, εἶδος ὀρχήσεως. — τραγικὴ δὲ ἡ ὄρχησις. Ἀργείοις δὲ Αἰσχύλος ἀντὶ τοῦ σατυρικῇ, ἥ ἐστι σίκιννις.* Codex *ἀργυρίοις* et *σικήνης*. V. Opusc. VII. p. 207.

ΑΡΓΩ.

Ἀργὼ ἢ κωπαστής in indice fabularum. Ita codex Mediceus.

20.

Schol. Paris. ad Apollon. Rhod. I. 105. *Σῖφαι, πόλις Βοιωτίας. Ἀπολλώνιος δὲ τοὺς Σιφαεῖς τῶν Θεσπιέων φησίν. ὁ δὲ Φερεκύδης Ποντέα* (*Ποτνιέα* coniicit Schneiderus) *ἱστορεῖ τὸν Τῖφυν εἶναι. Αἰσχύλος δὲ τὸν Τῖφυν ἐν τῇ Ἀργοῖ Ἶφυν καλεῖ.* A Schaefero editum *Δίσχηλος*, a Schneidero ad Orphei Arg. p. 100. *Αἰσχύλος*.

21.

Hyginus Poet. astr. II. 37. *Homerus hunc eundem locum* (ubi Argo compacta sit) *in Thessalide finibus esse demonstrat. Aeschylus autem, ut nonnulli aiunt, a Minerva quandam materiam loquentem eodem esse coniunctam.*

22.

Philo *περὶ τοῦ πάντα σπουδαῖον εἶναι ἐλεύθερον*, vol. II. p. 467. seq. Mang. *οὐδ' ἡ Ἀργὼ ναυαρχοῦντος Ἰάσονος ἐπέτρεπεν ἐπιβαίνειν οἰκέταις, μεμοιραμένη καὶ ψυχῆς καὶ λογισμοῦ, φύσις οὖσα φιλελεύθερος· ὅθεν καὶ ὁ Αἰσχύλος ἐπ' αὐτῆς εἶπε,*

ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερόν, αὔδασον, ξύλον;

ΑΤΑΛΑΝΤΗ.

In indice fabularum.

ΒΑΚΧΑΙ.

In indice fabularum.

ΒΑΣΣΑΡΙΔΕΣ.

De Aeschyli Lycurgia Opusc. V. p. 3. *Βασσάραι* in indice fabularum. Schol. Aristophanis ad Thesmoph. 142. *τὴν τετραλογίαν λέγει Λυκουργίαν, Ἠδωνούς, Βασσαρίδας, Νεανίσκους, Λυκοῦργον τὸν σατυρικόν.*

23.

Catasterismi Eratostheni tributi cap. 24. de Orpheo, *ὃς τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν, ἐπεγειρόμενός τε τῆς νυκτὸς κατὰ τὴν ἑωθινὴν ἐπὶ*

τὸ ὄρος τὸ καλούμενον Πάγγαιον προςένεμε τὰς ἀνατολάς, ἵνα ἴδῃ τὸν Ἥλιον πρῶτον. ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῷ ἔπεμψε τὰς Βασσαρίδας, ὥς φησιν Αἰσχύλος ὁ ποιητής, αἵτινες αὐτὸν διέσπασαν καὶ τὰ μέλη διέρριψαν χωρὶς ἕκαστον. αἱ δὲ Μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς λεγομένοις Λειβήθροις. Attigerunt haec Valckenarius ad fragmenta Callimachi p. 186. et Gaisfordius ad Hephaest. p. 71.

24.

Scholiastes Nicandri ad Ther. 288. *σημαίνει δὲ ἡ λέξις τρία. ἔστι γὰρ ψολόεν* (sic scribendum pro *ψόλον*) *τὸ μέλαν, τὸ σποδοειδές, τὸ λαμπρόν. Εὐφορίων "ἢ Αἴτνην ψολόεσσαν, ἐναύλιον Ἀστεροπαίου," καὶ ἔτι "λιγνὺν δὲ ψολόεσσαν ἀϊδνήεντά τε καπνόν." καὶ Αἰσχύλος ἐν Βασσαρίσι*

κάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ.

Codex *σκάρφει.* Meminit huius loci Ruhnkenius ad Longini cap. 3.

25.

Hesychius et Favorinus *εἰλλόμενον, εἰργόμενον. Αἰσχύλος Βασσαρίσι.* Codex Hesychii *βάσσαρες.*

ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ.

De Aeschyli Glaucis Opusc. II. p. 59. Pontium Glaucum versibus tetrametris Cicero adolescens scripsit: v. Plut. Cic. cap. 2.

26.

Pausanias IX. 22, 6. *τούτων τε δή ἐστι τῇ Ἀνθηδόνι μνήματα, καὶ ἐπὶ τῇ θαλάσσῃ καλούμενον Γλαύκου πήδημα· εἶναι δὲ αὐτὸν ἁλιέα, καὶ ἐπεὶ τῆς πόας ἔφαγε, δαίμονα ἐν θαλάσσῃ γενέσθαι, καὶ ἀνθρώποις τὰ ἐσόμενα ἐς τόδε προλέγειν, οἵ τε ἄλλοι πιστὰ ἥγηνται, καὶ οἱ τὴν θάλασσαν πλέοντες πλεῖστα ἀνθρώπων ἐς τὴν Γλαύκου μαντικὴν κατὰ ἔτος ἕκαστον λέγουσι. Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἦλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκησε.*

27.

Pausanias X. 4, 5. *τοῖς δέ ἐστιν εἰρημένον, ὡς τὸ χωρίον, ἔνθα ἡ πόλις ᾠκίσθη, παρείχετο συνεχῆ δένδρα, καλεῖσθαι δὲ τὰ δασέα ὑπὸ τῶν πάλαι δαῦλα· ἐπὶ τούτῳ δὲ καὶ Αἰσχύλον τοῦ Γλαύκου τοῦ Ἀνθηδονίου γένεια ὑπήνην ὠνομακέναι δαῦλον.* Etym. M. p. 250, 4. *δαῦλον γὰρ τὸ δασύ. Αἰσχύλος*

δαῦλος δ' ὑπήνη καὶ γενειάδος πυθμήν.

Omissum in Etymologico *δ'* inserendum ex Eustathio p. 274, 24. *δαῦλον γὰρ τὸ δασὺ ἔλεγον προπερισπωμένως, ὡς δηλοῖ Πausανίας, εἰπὼν "δαῦλον τὸ δασύ. ἡ προτέρα περισπᾶται. Αἰσχύλος· δαῦλος δ' ὑπήνη."*

28.

Anecdota Bekkeri p. 347, 22. *καὶ κατὰ σύνθεσιν ἀείζων, ὡς Αἰσχύλος Γλαύκῳ ποντίῳ*

ὁ τὴν ἀείζων ἄφθιτον πόαν φαγών.

29.

Anecdota Bekkeri p. 347, 26. ζωός – ῆς ἡ γενικὴ ζωοῦ, ἣν Αἰσχύλος κατὰ σύνθεσιν προάγει, εἰπών

καὶ γεύομαί πως τῆς ἀειζώου πόας.

30.

Anecdota Bekkeri p. 5, 21. ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν· ἐπὶ τοῦ Γλαύκου, ἀναφανέντος ἐκ τῆς θαλάσσης. Αἰσχύλος.

31.

Athenaeus III. p. 87. A. de conchis, ἀρσενικῶς δ' Αἰσχύλος ἐν ποντίῳ Γλαύκῳ,

κόγχοι, μύες, κὤστρεια.

Libri κ' ὄστρεα. Ipse Athenaeus p. 92. E. ὄστρεια δὲ μόνως οὕτως ἔλεγον οἱ ἀρχαῖοι.

32.

Vita Arati in Petavii Vranologio p. 269. A. (apud Buhlium vol. II. p. 430.) εἰσὶ δὲ καὶ τῆς Εὐβοίας Ἀθῆναι Διάδες, ὧν μέμνηται ἐν Γλαύκῳ ποντίῳ Αἰσχύλος,

κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν.

Editum est a Petavio εἰσὶ δὲ καὶ τῆς Εὐβοίας Ἀθηναίων Δαΐδαις μέμνηται, et in Aeschyli versu Δαΐδας. Haec correxit Valckenarius Diatr. de fr. Eur. p. 143. Tum apud Petavium legitur παρ' ἐκ Περσῶν. Id Scaliger emendavit: v. Villoisonii Epist. Vinar. p. 78.

33.

Strabo X. p. 686. (447.) ἔστι δὲ καὶ ἅπασα μὲν ἡ Εὔβοια εὔσειστος, μάλιστα δ' ἡ περὶ τὸν πορθμόν, καὶ δεχομένη πνευμάτων ὑποφοράς, καθάπερ καὶ ἡ Βοιωτία καὶ ἄλλοι τόποι, περὶ ὧν ἐμνήσθημεν διὰ πλειόνων πρότερον· ὑπὸ τοιοῦδε πάθους καὶ ἡ ὁμώνυμος τῇ νήσῳ πόλις καταποθῆναι λέγεται, ἧς μέμνηται καὶ Αἰσχύλος ἐν τῷ ποντίῳ Γλαύκῳ·

Εὐβοΐδα καμπὴν ἀμφὶ Κηναίου Διὸς
ἀκτήν, κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα.

34.

Hesychius Ξιφίρου λιμήν, Αἰσχύλος Γλαύκῳ ποντίῳ, ὁ πορθμός· ταῦτα γὰρ πάντα τὰ περὶ Ῥήγιον ὡρείων. Codex ποτνιεῖ: v. Opusc. II. p. 69. Corrigunt Valesius τῶν περὶ Ῥήγιον νεωρίων, Albertius τῶν π. Ῥ. ὁρίων.

35.

Scholiastes Pindari ad Pyth. I. 152. Ἱμέρας, ποταμὸς Σικελίας, περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ,

καλοῖσι λουτροῖς ἐκλελουμένος δέμας
εἰς ὑψίκρημνον Ἱμέραν ἀφικόμην.

Ita corrigunt: editum est ἐκλέλουμαι et Ἱμέραν δ' ἀφικόμην.

36.

Scholiastes Theocriti ad IV. 62. τοὺς Σατύρους ἀκρατεῖς οἱ πλειονές φασιν, ὡς καὶ τοὺς Σειληνοὺς καὶ Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σο-

φοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ. In his *ἀκρατεῖς* addidit Casaubonus de satyr. poesi I. 5. ut est in alio scholio *ἀκρατεῖς οἱ Σάτυροι ἐρώτων*.

Ad Glaucum Pontium pertinuerunt fortasse fr. 324. 332.

ΓΛΑΥΚΟΣ ΠΟΤΝΙΕΥΣ.

De Aeschyli Glaucis Opusc. II. p. 59. Acta est haec fabula Olymp. LXXVI. 4. Argumentum Persarum *ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ Ποτνιεῖ, Προμηθεῖ*. Non commemoratur in indice fabularum.

37.

Scholiastes Platonis p. 16. Ruhnk. 370. Bekk. *ἀγὼν πρόφασιν οὐκ ἀναμένει. — Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ*

ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους.

38.

Scholiastes Euripidis ad Phoen. 1229. (1194.) *ἄξονες τ' ἐπ' ἄξοσι· καὶ παρ' Αἰσχύλῳ ἐν Γλαύκῳ Ποτνιεῖ*

ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρός,
ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι.

V. 1. cod. Aug. *ἐφ' ἅρματι* et cum Vaticano Cobeti *καὶ νεκρῶν νεκροί*. Veram scripturam tuetur Aristophanes, qui in Ranis v. 1450. (1423.) hunc Aeschyli versum affert eique hanc explicationem subiicit, *δύ' ἅρματ' εἰςέθηκε καὶ νεκρὼ δύο*. — V. 2. cod. Aug. *ἐμπεφυγμένοι*, Vat. *ἐκπεφυγμένοι*. Emendavit Valckenarius.

39.

Scholiastes Homeri ad Il. XIII. 198. *Αἰσχύλος περὶ Γλαύκου*

εἷλκον δ' ἄνω λυκηδόν, ὥςτε διπλόοι
λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις.

Affert haec praeter duo extrema vocabula etiam Eustathius p. 927, 39. V. 1. *δέ* addidi.

40.

Scholiastes Aristophanis ad Ran. 1576. (1549.) *πρῶτα μὲν εὐοδίαν· εὐκολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου,*

εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν.

Vulgo *πρῶτα*, sed *πρῶτον* codex Venetus.

41.

Hesychius *ἀμφίςωπον, περίωπον, πάντοθεν ἀναπεπταμένον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ.*

42.

Hesychius *εὐφήμοις γόοις, δυςφήμοις, κατὰ ἀντίφρασιν. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ.* Codex *γλαυκοποτνί*.

43.

Hesychius *ἴτηλον, τὸ ἔμμονον καὶ οὐκ ἐξίτηλον. Αἰσχύλος Γλαύκῳ Πο-*

τνιεῖ. Photius p. 118, 3. ἴτηλον, τὸν οὐκ ἐξίτηλον, ἀλλ' ἀνεξάλειπτον. οὕτως Αἰσχύλος.

Ad Glaucum Potniensem pertinuerunt fortasse fr. 342. 343. 344. 347. 430.

ΔΑΝΑΙΔΕΣ.

De Aeschyli Danaidibus Opusc. II. p. 319.

Strabo V. p. 338. (221.) de Pelasgis, *Αἰσχύλος δ' ἐκ τοῦ περὶ Μυκήνας Ἄργους φησὶν ἐν Ἱκέτισιν ἢ Δαναΐσι τὸ γένος αὐτῶν.* Scribendum videtur *καὶ Δαναΐσι.*

44.

Scholiastes Pindari ad Pyth. III. 27. *τὸ ὑποκουρίζεσθαι ἀοιδαῖς εἶπε διὰ τὸ τοὺς ὑμνοῦντας ἐπευφημιζομένους λέγειν σὺν κούροις τε καὶ κόραις. Αἰσχύλος Δαναΐσι*

κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος,
ἕως ἐγείρω, "πρευμενεῖς τοὺς νυμφίους
νόμοισι θέντων σὺν κόροις τε καὶ κόραις."

45.

Athenaeus XIII. p. 600. A. *καὶ ὁ σεμνότατος δ' Αἰσχύλος ἐν ταῖς Δαναΐσιν αὐτὴν παράγει τὴν Ἀφροδίτην λέγουσαν*

ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
ὄμβρος δ' ἀπ' εὐνάεντος οὐρανοῦ πεσὼν
ἔκυσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον·
δενδρῶτις ὥρα δ' ἐκ νοτίζοντος γάμου
τέλειός ἐστι· τῶν δ' ἐγὼ παραίτιος.

Affert hos versus, omissis duobus postremis, etiam Eustathius pag. 978, 24. (967, 9. Bas.), sed deceptus ab epitome, quum ibi paullo ante Aeschyli Alexandrini mentio facta esset, huic adscribit. — V. 3. Codex Paris. epitomes *εὐνάεντος.* Nicander apud Ath. II. p. 60. F. *ὑδάτεσσιν ἀειναέεσσι.* — V. 6. Libri *δένδρων τις* et *δένδρων δέ τις.* Quod correxi, et eodem modo Dobraeus Adv. II. p. 30. — V. 6. et 7. omittit epitome.

46.

Hesychius *καθαίρομαι γῆρας, ἐκδύομαι. Αἰσχύλος Δαναΐσι.* Codex *δαίσι,* unde Musurus *Δανάῃ* fecit.

Ad Danaides fortasse pertinuerunt fr. 339. 351. 380.

ΔΙΚΤΥΟΥΛΚΟΙ.

Berichte über die verhandlungen der kön. sächsischen gesellschaft der wissenschaften I. p. 119. *In dem verzeichniss der schauspiele des Aeschylus wird eines unter dem namen Δικτυουργοί aufgeführt, womit gewis-*

sermassen in der vulgata des Pollux VII. 35. *das citat ἐν Δικτυουργικοῖς übereinstimmt. Aber die handschriften des Pollux geben ἐν Δικτυουλκοῖς, und Δικτυουλκοί wird das stück auch von Aelian in der thiergeschichte* VII. 47. *von dem Photius in dem worte ὄβρια, und vom Hesychius in dem worte θῶσθαι genannt. Schon hieraus folgt, dass gegen die drei zuletzt genannten schriftsteller die offenbar verdorbene vulgata des Pollux und das unzuverlässige schauspielverzeichniss gar kein gewicht haben. Es tritt noch hinzu, dass diese für ein so einfaches geschäft, wie das verfertigen von netzen ist, unpassende benennung weiter nicht vorkommt, sondern diese leute, wie Pollux* VII. 179. *angiebt, δικτυοπλόκοι, netzstricker, genannt wurden. Gleichwohl hat herr Welcker, und mit ihm andere, angenommen, das stück des Aeschylus habe Δικτυουργοί geheissen. Fragt man nach dem grunde, so ist es der, dass diese benennung zu dem mythus vom Athamas passe, in welchem man dieser tragödie, weil Aeschylus einen Athamas geschrieben hat, eine stelle anwies. Fragt man weiter, aus welchem grunde netzstricker zu diesem mythus passen, so ist die antwort folgende. Wie Apollodor* III. 4, 3. *erzählt, tödtete Athamas im wahnsinne seinen ältesten sohn, indem er ihn für einen hirsch ansah. Nun sagt der wahnsinnige Athamas bei dem Ovid Metam.* VI. 512. io comites, his retia tendite silvis. *Also gehörte das stück, das Δικτυουργοί heisst, und aus welchem die worte δικτύου δ᾽ εὐήτρια erhalten sind, zu dem mythus des Athamas. Zwischen diesen sätzen liegen aber drei unerwiesene mittelsätze: erstens, dass die netze, von denen die rede ist, nicht fischernetze, sondern jägernetze gewesen seien; zweitens, dass, gesetzt sie wären jägernetze gewesen, sie auch die des Athamas gewesen seien; drittens, dass, wenn Athamas bei dem Ovid netze zu stellen befiehlt, auch Aeschylus von aufgestellten netzen gebrauch zu machen für nöthig erachtet habe. Dass das Wort ὄβρια, womit junge reissende thiere bezeichnet werden, in dem stücke vorkam, wird wohl niemand für beweis einer jagd nehmen. In gleicher bedeutung sind ὀβρίκαλα im Agamemnon genannt, wo weder von jagd noch von netzen etwas zu finden ist. Wollte man aber auch alles, was ohne beweis angenommen ist, als erwiesen gelten lassen, so würde immer noch die grosse unwahrscheinlichkeit übrig bleiben, dass zu einer jagd, wo es bloss auf das stellen der netze ankam, netzstricker, und nicht netzsteller, ἀρκυστάται, wäre angewendet worden. Auf diesen schluss nun, dass, weil Ovid in der erzählung vom Athamas netze erwähnt, eine tragödie, in der ebenfalls netze vorkommen, denselben stoff betreffe, ist zugleich stillschweigend noch ein anderer ebenso unhaltbarer schluss gegründet worden. Dieser lautet in bestimmten Worten ausgesprochen so: da die Δικτυουργοί ein theil der athamantischen trilogie sind, so kann das stück nicht Δικτυουλκοί geheissen haben, weil dies netzzieher, mithin fischer bedeutet, und es ist deshalb gegen den Aelian, den Photius, und den Hesychius die lesart der corrupten vulgata des Pollux und des ungenauen schauspiel-*

verzeichnisses, Δικτυουργοί, die wahre. Durch diesen zweiten fehlschluss ist nun die möglichkeit ausgeschlossen den richtigen und auf guten zeugnissen beruhenden namen Δικτυουλκοί einer tragödie des Aeschylus beizulegen, und wenn sich eine findet, der diese benennung mit recht zukommen würde, muss der, der sie bereits anderwärts verbraucht hat, unvermeidlich einen falschen namen ergreifen. Dass dies wirklich geschehen ist, wird sich sogleich zeigen.

Aeschylus hat auch den mythus des Perseus behandelt, wovon die Φορκίδες nach dem, was Athenäus IX. *p.* 402. *B. anführt, den beweis geben. Es ist nun von herrn Welcker und andern eine trilogie angenommen worden, die aus der Danae, den Phorciden, und dem Polydectes, von welchem bloss der name erhalten ist, bestanden habe. Die Danae hat man aus dem citat des Hesychius, καθαίρομαι γῆρας, Αἰσχύλος Δανάῃ, genommen. Aber dies ist bloss eine vermuthung von Musurus. Denn die handschrift hat δαίσι, was unverkennbar aus Δαναΐσι verschrieben ist. Die Danaiden waren eine berühmte tragödie des Aeschylus, wogegen von einer Danae dieses dichters niemand etwas weiss. Der name Danae ist also völlig unbegründet, obwohl er dem inhalte des stückes angemessen sein würde. Denn die sage war, dass Acrisius seine tochter Danae, nachdem sie den Perseus geboren hatte, zusammen mit ihrem kinde in einen kasten eingesperrt und dem meere preisgegeben habe. Wie wenig aber hieraus folge, dass die tragödie Danae geheissen, und nicht vielmehr einen ganz andern namen gehabt habe, mögen die worte zeigen, mit denen herr Welcker selbst in der Trilogie s.* 379. *das weitere erzählt. "Sie wurden nach der insel Seriphos hingetrieben, wo mit fischernetzen Diktys, d. h. der netzler, den kasten mächtig (darum ὁ Περισθένους) heranzog, und auf der Danae flehen ihn öffnete, darauf sie und den Perseus nährte wie verwandte, er und sein bruder Polydektes, d. i. der aufnehmende." Schon diese seine eigenen worte würden herrn Welcker erinnert haben, hier die in dem namen Dictys angedeuteten Δικτυουλκούς zu erkennen, die "mächtig" ziehen mussten, um den schweren kasten, den ihr netz gefangen hatte, ans land zu bringen. Aber da er die Δικτυουλκούς in die unhaltbaren Δικτυουργούς verwandelt und der athamantischen trilogie einverleibt hatte, waren sie hier, wo ihnen anerkennung mit recht zukam, nicht mehr vorhanden, und ihr platz wurde dem unberechtigten und auf eine leere vermuthung von Musurus angenommenen namen Danae zu theil.*

47.

Aelianus H. A VII. 47. *τῶν δὲ ὑστρίχων καὶ τῶν τοιούτων ἀγρίων τὰ ἔκγονα ὄβρια καλεῖται· καὶ μέμνηται Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι καὶ Δικτυουλκοῖς.* Photius p. 314, 23. *ὄβρια καὶ ὀβρίκαλα, τὰ τῶν λεόντων καὶ λύκων σκύμνια. Αἰσχύλος Δικτυουλκοῖς.* Codex a prima manu *δικτυουλικοις* habere videtur.

48.

Hesychius *θῶσθαι, δαίνυσθαι. θωνᾶσθαι, εὐωχεῖσθαι. Αἰσχύλος Δικτυουλκοῖς.* Pro *δαίνυσθαι* codex *δύνασθαι.* Pro *θωνᾶσθαι* Bastius ad Greg. Cor. p. 358. ex Etymologico Parisino (Gaisf. p. 1317.) *θωρᾶσθαι* scribendum putat: quod mihi non videtur probabile.

49.

Pollux VII. 35. *τὸ δὲ εὐήτριον Αἰσχύλος ἐν Δικτυουλκοῖς, εἰ καὶ μὴ ἐπὶ ἐσθῆτος, ἀλλ' οὖν εἴρηκε*

δικτύου δ' εὐήτρια.

Δικτυουλκοῖς codices Bekkeri et Falckenburgianus: vulgo *δικτυουργικοῖς.* Pro *δικτύου* codex Parisinus primus Bekkeri *κερκίου.*

ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ.

Nihil est, quare *Διονύσου τροφοί* a *Τροφοῖς* diversi existimentur. *Τροφοί* in indice fabularum. Satyricam fabulam fuisse Boettigerus iudicavit in libro quem de picturis vasorum scripsit vol. I. part. 2. p. 185.

50.

Argumentum Medeae Euripidis *Αἰσχύλος δ' ἐν ταῖς τοῦ Διονύσου τροφοῖς ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε.* Elmsleio p. 67. (51.) *ἀφεψήσασα* scribendum videtur. Scholiastes Aristophanis ad Equ. 1318. *ὥσπερ ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν.*

51.

Hesychius et Favorinus *δίκρα ὄψις, ἡ διπλῆ. Αἰσχύλος Τροφοῖς.* Codex *ἤ.* Conf. Lob. Paral. I. p. 42.

52.

Hesychius et Favorinus *πεδοίκου χελιδόνος, συνοίκου. Αἰσχύλος Τροφοῖς.* Bergkius in Diurnis antiquariis a. 1835. X. p. 955. sine caussa *πεδοικούσης* scribi volebat.

53.

Photius p. 47, 10. *ἰψιοῦσα, τροφὰς διδοῦσα χόνδρου καὶ τὰ ἑψητά. Αἰσχύλος Τροφοῖς*

βιοτὴν αὔξιμον ἰψιοῦσα.

Ἱππῶναξ.

ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ.

Eadem quae Phryges.

ΕΛΕΥΣΙΝΙΟΙ.

54.

Plutarchus in Theseo cap. 29. *συνέπραξε δὲ καὶ Ἀδράστῳ τὴν ἀναίρεσιν τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων, οὐχ, ὡς Εὐριπίδης ἐποίησεν ἐν τραγῳδίᾳ, μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος· οὕτω γὰρ οἱ πλεῖστοι λέγουσι. Φιλόχορος δὲ καὶ σπονδὰς περὶ νεκρῶν ἀναιρέσεως γενέσθαι πρώτας ἐκείνας. ὅτι δ' Ἡρακλῆς πρῶτος ἀπέδωκε νεκροὺς τοῖς πολεμίοις ἐν τοῖς περὶ Ἡρακλέους γέγραπται. ταφαὶ δὲ τῶν*

μὲν πολλῶν ἐν Ἐλευθεραῖς δείκνυνται, τῶν δὲ ἡγεμόνων περὶ Ἐλευσῖνα, καὶ τοῦτο Θησέως Ἀδράστῳ χαρισαμένου. καταμαρτυροῦσι δὲ τῶν Εὐριπίδου Ἱκετίδων καὶ οἱ Αἰσχύλου Ἐλευσίνιοι, ἐν οἷς ταῦτα λέγων ὁ Θησεὺς πεποίηται. Ita haec C. Sintenis, *καί*, quod ante *ταῦτα* legebatur, ante *οἱ Αἰσχύλου Ἐλευσίνιοι* reposito, emendavit. V. Opusc. VII. p. 210.

55.

Hesychius *ἀοζήσω, διακονήσω, ὑπουργήσω. Αἰσχύλος Ἐλευσινίοις.* Codex *ἀοξήσω* et *ἐλευσινίαις.*

Ad Eleusinios pertinuit fortasse fr. 348.

ΕΛΛΑΔΙΟΣ.

Nulla fuit Aeschyli fabula sic dicta. V. ad fr. 406.

ΕΠΙΓΟΝΟΙ.

Andronicum tragoedum, qui, ut Athenaeus narrat XIII. p. 584. D., in certamine *τοὺς Ἐπιγόνους εὐημερήκει*, Epigonos egisse non Aeschyli, sed Sophoclis, Brunckius ad Soph. Epig. fr. 4. putavit propterea, quod Sophoclis fabula fuerit nobilior. Rectius ita ob temporum rationem iudicasset.

56.

Scholiastes Pindari ad Isthm. VI. 10. *τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον. — τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκίρνασαν, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος, καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις*

λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου
Ἥρας τε·

εἶτα

τὴν δευτέραν γε κρᾶσιν ἥρωσιν νέμω·

εἶτα

τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα.

57.

Hesychius et Favorinus *τιμαλφής, — Αἰσχύλος δὲ ἐν Ἐπιγόνοις ἐπὶ τοῦ ἐντίμου.*

ΕΥΡΩΠΗ.

Eadem quae Cares.

ΗΔΩΝΟΙ.

De Aeschyli Lycurgia Opusc. V. p. 3.

58.

Strabo X. p. 721. (470.) *τῆς μὲν οὖν Κότυος τῆς ἐν τοῖς Ἠδωνοῖς Αἰσχύλος μέμνηται καὶ τῶν περὶ αὐτὴν ὀργάνων. εἰπὼν γὰρ*

σεμνὰ Κότυς

ἐν τοῖς Ἠδωνοῖς, "ὄρεια δ' ὄργαν' ἔχοντας" τοὺς περὶ τὸν Διόνυσον, εὐθέως ἐπιφέρει

ὁ μὲν ἐν χερσὶν βόμβυκας ἔχων,
τόρνου κάματον,

δακτυλόδικτον πίμπλησι μέλος,
μανίας ἐπαγωγὸν ὁμοκλάν,
ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ·

καὶ πάλιν

ψαλμὸς δ' ἀλαλάζει·
ταυρόφθογγοι δ' ὑπομυκῶνταί
ποθεν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι,
τυπάνου δ' εἰκὼν ὥσθ' ὑπογαίου
βροντῆς φέρεται βαρυταρβής.

Vulgo *ὅρια δ' ὄργαν' ἔχοντα:* codices *ὄρεια δ' ὄργαν' ἔχοντες* vel *ἔχοντας.* Aeschylus scripsisse videtur

καὶ ὄρεια χεροῖν ὄργαν' ἔχοντες.

V. 1. libri *χερσί.* — V. 3. *δακτυλόδικτον* Pauwius: libri *δακτυλόδεικτον.* — V. 5. Strabonis libri *χαλκοθέοις.* Athenaeus XI. p. 479. B. *καὶ τὰ κύμβαλα δ' Αἰσχύλος ἐν Ἠδωνοῖς κοτύλας εἴρηκεν. "ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ."* Repetiit haec Eustathius p. 1282, 60. fabulae nomine et *ὁ δὲ* omissis. Scholiastes Homeri ad Il. XXII. 34. *καθόλου δὲ κοτύλας ἐκάλουν πάντα τὰ κοῖλα· καὶ Αἰσχύλος ἐν Ἠδωνοῖς τὰ κύμβαλα· "ὁ δὲ χαλκοδέτοις κοτύλαις ἠχεῖ·"* sic codices Venetus et Isaaci Vossii: sed Victorianus levi aberratione *στοβεῖ.* — V. 7. vulgo *ὑπομηκῶνται: ὑπομυκῶνται* ex uno Mediceorum restituit Naekius Sched. crit. p. 24 (Opusc. I. p. 38.). — V. 9. *εἰκὼν* Naekius ex codicibus: vulgo *ἠχώ.* In *ὑπογείου* et *ὑπογαίου* variant libri. Posterius sermoni tragico accommodatius videtur.

59.

Longinus cap. 15. *καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται·*

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη.

Rettulerant hoc ad Lycurgum. Sed de primo accessu Bacchi sermonem esse vidit Zoega in Dissert. p. 15. quem secutus est Welckerus in Trilogia p. 322. et in Appendice p. 105.

60.

Scholiastes Homeri ad Il. IX. 535. (539. Bekk.) *χλούνην, οἱ μὲν ἀφριστήν· χλουδεῖν γὰρ τὸ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον· ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων ἰαμβοποιῶν τινὰ φάναι "ἀνὴρ ὅδ' ἑσπέρης καθεύδοντα ἄπουν ἔδησε χλούνην* (v. Mein. Poet. chol. p. 121.)." *Ξενοφῶντα δὲ γένος τι Ἰνδῶν φάναι τὸν χλούνην εἶναι, καθάπερ καὶ παρ' Αἰσχύλῳ ἐν Ἠδωνοῖς*

μακροσκελὴς μὲν ἆρα μὰ χλούνης τις ᾖ.

Eustathius p. 772, 53. *ὅτι δὲ καὶ ἐκτομίαν ὁ χλούνης δηλοῖ, οὐ μόνον Αἰσχύλος δίδωσι χρῆσιν, ἀλλὰ καὶ Αἰλιανὸς μάλιστα ἐν τοῖς περὶ προνοίας χλούνην λέγων τὸν ἀπόκοπον· καὶ Ἀριστοτέλης δὲ κατὰ τὸν γεωγράφον χλούνην σῦν τὸν τομίαν λέγει.* Eam interpretationem prorsus reiectam narrat ab

Aristophane grammatico. V. Nauck. Aristoph. Byz. fragm. p. 118. et 120 ss. In Opusc. V. p. 13. dixi Aeschylum fortasse ita scripsisse:

ΑΓΓ. μακροσκελὴς μέν. ΛΥΚ. ἆρα μὴ χλούνης τις ἦν;

ut *χλούνης locustam* significaret. Nam ad Theocriti id. X. v. 18. *μάντις τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία*, scholiastes haec adnotavit: *ἴσως οὖν ὁ Θεόκριτος τὴν ἰσχνὴν εἰπεῖν θέλων καὶ διεφθινηκυῖαν τοῦτο φησίν. ἢ τὴν ἐπιβλαβὲς καὶ χαλεπὸν ὁρῶσαν. Ἀρίσταρχος γὰρ ἐν ὑπομνήματι Λυκούργου Αἰσχύλου τὴν ἀκρίδα φησὶ ταύτην, εἰ προςβλέψει τινὶ τῶν ζῴων, ἐκείνῳ κακὸν γίνεσθαι. ἔστι δὲ χλωρὰ καὶ περιμήκεις τοὺς πόδας ἔχουσα καὶ λεπτούς, καὶ συνεχῶς αὐτοὺς κινοῦσα.* Atque paucis interiectis ipsa illa vox *μακροσκελής*, sed perperam *μακρόσκελος* scripta, de ista bestiola dicta est: *ἢ ἡ σὴ ἐρωμένη ἡ ἐοικυῖα τῇ ἀκρίδι τῇ καλαμαίᾳ ὀνομαζομένῃ, τῇ πρὸς μαντείας ἐπιτηδείᾳ, περιβαλεῖται τὸν χρῶτά σου κατὰ τὴν νύκτα· τουτέστιν, ἡ ἰσχνὴ καὶ λεπτὴ καὶ μακροσκελὴς συγκοιμηθήσεταί σοι.* Potuit Aristarchi illud *ὑπόμνημα Λυκούργου* universam tetralogiam complecti, neque, ut in solo Lycurgo constiterit, non potuit etiam eorum aliquid explicari, quae in praegressis legerentur tragoediis. Itaque quae disseruit Aristarchus ad illum ipsum Edonorum versum pertinere, in iis autem, quae ex libro aliquo Xenophontis (fortasse ex Sillis Xenophanis) scholiastes Homeri affert, scribendum esse *γένος τι ἀκρίδων* suspicatus sum.

61.

Aristophanes Thesm. 134. *καί σ', ὦ νεᾶνις, ἥτις εἶ, κατ' Αἰσχύλον ἐκ τῆς Λυκουργίας ἐρέσθαι βούλομαι. ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;* Scholiastes *τὴν τετραλογίαν λέγει Λυκουργίαν, Ἠδωνούς, Βασσαρίδας, Νεανίσκους, Λυκοῦργον τὸν σατυρικόν. λέγει δὲ* (Lycurgus) *ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συλληφθέντα Διόνυσον*

ποδαπὸς ὁ γύννις;

Fortasse totus hic versus Aeschyli est: *ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;*

62.

Aristophanes Av. 277. *τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀριβάτης;* Scholiastes *ὁ μουσόμαντις, ὁ κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί. ἄτοπος ὄρνις· τοῦτο εἶπεν εἰς τὸ τερατῶδες τοῦ ὄρνιθος ἀφορῶν, οὐ δὲ* (legitur *οὐδὲν*) *πρὸς τὸ προκείμενον. παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλου· "τί ποτ' ἔσται ὁ μουσόμαντις, ἄλαλος, ἁβρατεὺς ὃν σθένει."* Pro *ἄλαλος ἁβρατεὺς* cod. Ven. *ἄλλο ἀκρατοῦς*. Suidas *μουσόμαντις, κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ πόιηταί. παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλου· "τίς ποτ' ἔσται ὁ μουσόμαντις ἄλαλος ἁβρατεύς."* Fortasse *τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἁμαλὸς ἁβροβάτης σθένει;* F. V. Fritzschius *τί ποθ' ὁ μουσόμαντις ἄλαλος ἁβροβάτης τόσον σθένει;* non bene tamen collocato *μουσόμαντις*.

63.

Erotianus p. 192. *ἴκταρ, ἐγγύς, παρὰ τοῖς Ἀττικοῖς, ὡς Αἰσχύλος ἐν Εὐμενίσι φησίν, ἴκταρ ἥμενοι Διός. μέμνηται ὁ αὐτὸς τῆς λέξεως καὶ ἐν*

Ἠδωνοῖς. οἱ δὲ περὶ Ἰσχόμαχον καὶ Κυδίαν τὸν Μυλασέα ἔγραψαν ἴκμαρ· αἴτιον δὲ τούτου ἡ τῆς λέξεως ἄγνοια.

64.

Hesychius ἄδασμος, οὐδένα δασμὸν ἐκτελοῦσα, οἷον τελοῦσα ἐνοίκιον. Αἰσχύλος Ἠδωνοῖς. Codex ἡδονήν. Photius p. 8, 4. ἄδασμος, οὐδένα δασμὸν ἐκτίνουσα, οὐδὲ μερίζουσα δασμὸν τῆς οἰκήσεως. οὕτως Αἰσχύλος.

65.

Hesychius αἰγίζειν, διασπᾶν. ἐκ μεταφορᾶς. παρ' ὃ καὶ αἰκίζεσθαι ἀπὸ τῶν καταιγίδων. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς (codex ἡδονῇ) καὶ τὰς νευρίδας οὕτω λέγει. Suidas αἰγίζειν, διασπᾶν. ἐκ μεταφορᾶς. παρ' ὃ καὶ τὸ αἰγίζεσθαι ἀπὸ τῶν καταιγίδων. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς καὶ τὰς νεβρίδας οὕτω καλεῖ. Idem Suidas Ἠδωνὰ ἱμάτια, Θρᾳκικά. Ἠδωνίς, Ἠδωνίδος, χώρα οὕτω λέγεται. καὶ Ἠδωνοί, ὄνομα ἔθνους. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖσι καὶ τὰς νεβρίδας οὕτως καλεῖ. καὶ ἔστιν ἐν τῷ αἰγίζειν. Conf. Favorinus in v. αἰγίζει. Verba poetae fortasse haec fuerunt:

νεβρίδας δ' Ἠδωνίδας
ᾔγιζον.

66.

Hesychius ἀμφίδρομος. Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα καινὸν περὶ τὰ ἀμφιδρόμια, ὡς εἰ ἔλεγες τὸν γενέθλιον. δηλοῖ δὲ καὶ ἐξ ἑκατέρου μέρους θεώμενον ἢ προηγούμενον ἢ ὁρμᾶν δυνάμενον, ὡς Αἰσχύλος ἐν Ἠδωνοῖς. Codex ἡδωνές. Favorinus nomina auctoris et fabulae omittit.

67.

Hesychius et Favorinus ἄσσιστα, ἔγγιστα. Αἰσχύλος Ἠδωνοῖς. Codex Hesychii ἡδωνῶν.

Ad Edonos pertinuerunt fortasse fr. 335. 405.

ΗΛΙΑΔΕΣ.

De Aeschyli Heliadibus Opusc. III. p. 130.

68.

Scholiastes Sophoclis ad Oed. Col. 1248. τὰ ἀπὸ τῶν ὀρῶν φησὶ τῶν προςαγορευομένων Ῥιπῶν. τινὲς δὲ οὕτω καλοῦσι, Ῥίπαια ὄρη. λέγει δὲ αὐτὰ ἐννύχια διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι. μέμνηται δὲ — καὶ ἐν Ἡλιάσιν Αἰσχύλος,

Ῥῖπαι μὲν δὴ πατρός.

69.

Plinius H. N. XXXII. 11. *Phaethontis fulmine ictae sorores, fletu mutatas in arbores populos, lacrimis electrum omnibus annis fundere iuxta Eridanum amnem, quem Padum vocamus, et electrum appellatum, quoniam sol vocitatus sit* ἠλέκτωρ, *plurimi poetae dixere, primique, ut arbitror, Aeschylus, Philoxenus, Nicander, Euripides, Satyrus. Quod esse falsum, Italiae testimonio patet. Diligentiores eorum Electridas insulas in mari*

Adriatico esse dixerunt, ad quas dilaberetur Padus. Qua appellatione nullas umquam ibi fuisse certum est, nec vero ullas ibi appositas esse, in quas quicquam cursu Padi devehi possit. Nam quod Aeschylus in Iberia, hoc est in Hispania, Eridanum esse dixit, eundemque appellari Rhodanum, Euripides rursus et Apollonius in Adriatico litore confluere Rhodanum et Padum, faciliorem veniam facit ignorati succini in tanta orbis ignorantia.

70.

Athenaeus X. p. 424. D. *τούτῳ ὅμοιόν ἐστι τὸ ἀνιαρέστερον καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου*

ἀφθονέστερον λίβα.

Sic Epitome. Vulgo *ἀφθονέστερα.* Eustathius ad Il. IX. p. 746, 45. (644, 38.) *καὶ παρ' Αἰσχύλῳ ἀφθονέστερον.* Non erat opus *ἀφθονεστέραν* scribi.

71.

Athenaeus XI. p. 469. F. de poculo, quo Sol per noctem ferri a poetis dictus est, *καὶ Αἰσχύλος ἐν Ἡλιάσιν "ἔνθ' ἐπὶ δυσμαῖς ἴσου πατρὸς Ἡφαιστοτευχὲς δέπας, ἐν τῷ διαβάλλει πολὺν οἴδματόεντα φέρει δρόμου πόρον οἰδ' εἰς μελανίππου προφυγὼν ἱερᾶς νυκτὸς ἀμολγόν."* Scribendum videtur

ἔνθ'
ἐπὶ δυσμαῖσι τεοῦ
πατρὸς Ἡφαιστοτυκὲς
δέπας, ἐν τῷ διαβάλλει
πολὺν οἰδματόεντ' ἀμφίδρομον
πόρον, εἰς μελανίππου
προφυγὼν ἱερᾶς νυκτὸς ἀμολγόν.

72

Anecdota Bekkeri p. 346, 9. *Ἀδριαναὶ γυναῖκες. Αἰσχύλος Ἡλιάσιν*

Ἀδριαναί τε γυναῖκες τρόπον ἕξουσι γόων.

Codex *ἰλιάσιν.* Aeschylus Ionica forma *Ἀδριηναί,* ut poetica, usus esse videtur, quod fecit etiam Euripides Hippol. 735.

Ad Heliades fortasse pertinuerunt fr. 309. 427 443.

ΗΡΑΚΛΕΙΔΑΙ.

73.

Stobaeus CXXII. 2. *Αἰσχύλου Ἡρακλειδῶν*

οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι.

74.

Hesychius *ἀμφιμήτορες, οἱ ἐκ πολλῶν μητέρων ἀδελφοί. Αἰσχύλος Ἡρακλείδαις.* Suidas *ἀμφιμήτωρ, ὁ ἑτερομήτωρ. Αἰσχύλος.*

75.

Hesychius et Favorinus *ἐπιγλωσσῶ, ἐποιωνίζου διὰ γλώττης Αἰσχύλος Ἡρακλείδαις.* Codex Hesychii *ἐπιγλώσσω.*

ΘΑΛΑΜΟΠΟΙΟΙ.

Non commemorantur in indice fabularum. *Berichte über die verhandlungen der kön. sächsichen gesellschaft der wissenschaften* I. *p.* 121. *Aus der Iphigenia des Aeschylus haben wir noch einige bruchstücke, und mit grosser wahrscheinlichkeit hat herr Welcker gezeigt, dass mit dieser tragödie die Priesterinnen, Ἱέρειαι, verbunden waren. Dazu sollen noch die Θαλαμοποιοί kommen. In seinem buche über die trilogie s.* 408. *gab er die ordnung so an: Ἱέρειαι, Θαλαμοποιοί, Ἰφιγένεια. Im rheinischen Museum* V. *s.* 447 *ff. berichtigte er dies und ordnete die stücke so: Θαλαμοποιοί, Ἰφιγένεια, Ἱέρειαι. Dies hat er in dem supplementbande beibehalten.*

Als die Griechen auf dem zuge nach Troja in Aulis durch widrigen wind zurückgehalten wurden, gebot Kalchas die Iphigenia zu opfern. Man schickte deshalb einen boten nach Argos, Klytämnestra solle ihre tochter nach Aulis bringen, wo sie dem Achilles werde vermählt werden. Weil nun einen thalamus bauen und hochzeitmachen gleichbedeutend sei, schliesst herr Welcker, dass die Θαλαμοποιοί zu dieser trilogie gehört haben. Allein erstens ist nicht jeder thalamus ein brautgemach. Als Danae den Perseus geboren hatte, "da baute der könig einen ehernen thalamus unter der erde in dem hof des hauses, und schloss Danae mit ihrer amme ein und bewachte sie." Das sind herrn Welckers eigene worte in der trilogie s. 378. *Da nun von dem thalamus in den Θαλαμοποιοῖς nichts bekannt ist als was ein bruchstück dieses schauspiels sagt, dass die decke mit künstlichem netzwerk getäfelt werden solle, so hören wir nur von einem prachtvollen thalamus, erfahren aber nicht ob es der unterirdische thalamus der Danae, oder ob es ein brautgemach, oder zu welchem gebrauche sonst bestimmt sei. Es fehlt daher der beweis, dass der thalamus für die hochzeit des Achilles und der Iphigenia gebaut werden solle. Zweitens, wozu bedürfen diese eines thalamus, da an eine wirkliche hochzeit gar nicht zu denken ist, sondern nur Klytämnestra, die von der beschlossenen opferung ihrer tochter nichts wissen durfte, durch das vorgeben einer hochzeit getäuscht werden musste? Drittens, wollte man auch annehmen, die täuschung sollte noch selbst in Aulis durch wirkliches errichten eines thalamus fortgesetzt werden, so würde das schon in sich selbst einen widerspruch enthalten, weil einen thalamus bauen und hochzeitmachen nur da gleichbedeutend sind, wo von dem auch fernerhin zu gebrauchenden ehelichen schlafgemach die rede ist, nicht aber wo der bräutigam auf dem heereszuge begriffen vielleicht schon den tag nach der hochzeit mit dem heere aufbrechen muss. Viertens endlich, wer sollte getäuscht werden? Klytämnestra, die nothwendig enttäuscht werden musste? Oder das heer, das aus begierde an Troja rache zu nehmen der opferung kein hinderniss würde in den weg gelegt haben? Oder endlich Achilles selbst? Aber dieser konnte gar nicht getäuscht werden, sondern hätte antheil an dem betruge nehmen müssen,*

was dessen hochherziger, jede hinterlist verabscheuender sinn mit zorn würde von sich gewiesen haben, wie er denn auch in der euripideischen tragödie über den missbrauch seines namens entrüstet wird und die Iphigenia in schutz nimmt. Herr Welcker scheint selbst die misslichkeit der annahme von erbauern eines thalamus gefühlt zu haben, da er im rheinischen Museum s. 449. *noch einen negativen grund in folgenden worten, die ich nicht völlig zu deuten weiss, anfügt: "da die hochzeit aber gewiss nicht wirklich wurde, wie in der komödie, so ist nach dem verhältnisse der tragödie des Aeschylus zu dem epos und den mythen im allgemeinen ein zeugniss dafür, dass die vorgebliche heirath des Achilles und der Iphigenia behandelt worden sei, so lang entbehrlich, bis eine andere tragische fabel nachgewiesen ist, worin hochzeitsanstalten zu einer erschütternden katastrophe führen." Man kann sich diese worte nur aus der begeisterung erklären, mit der herr Welcker einen einmal gefassten gedanken liebgewinnt. Denn ihm, der die ausgebreitetste und bis zu den entlegensten spuren sich erstreckende kenntniss der mythologie besitzt, hätte es sonst nicht entgehen können, dass es nicht eben schwer ist die gestellte bedingung zu erfüllen. Den wenn auch nicht hochzeitlichen thalamus der Danae habe ich schon erwähnt, und wenn jemand die erste stelle in jener trilogie den Θαλαμοποιοῖς gegeben hätte, würde doch weder das wirkliche erbauen eines thalamus, noch die erschütternde katastrophe vermisst werden. Auf gleiche weise dürfte es nicht schwer fallen in der trilogie, die den Ixion und die Perrhäberinnen enthielt, das anfangsstück, das noch gesucht wird, mit einiger wahrscheinlichkeit in den Θαλαμοποιοῖς zu finden. Eine grössere wahrscheinlichkeit aber wird sich bei einem andern falle ergeben.*

A. W. Schlegel hatte eine trilogie aus den Aegyptern, den Schutzflehenden und den Danaiden zusammengesetzt. Ihm sind herr Welcker und andere gefolgt. Meiner behauptung, dass die Schutzflehenden die erste stelle eingenommen haben, weil nichts darin auf eine vorhergegangene tragödie hinweise, und alles, was den zuschauern zu wissen nöthig ist, in dem stücke selbst erzählt werde, widersprach herr Welcker in der Trilogie s. 390 *f. Nachmals hat er selbst in der ersten abtheilung des zweiten supplementbandes zum rheinischen Museum die Schutzflehenden zu anfang, die Aegypter aber in die mitte gestellt. Wenn demnach der erste grund, den man angeführt hatte, dass die Schutzflehenden ein vorhergegangenes stück erforderten, bereits aufgegeben ist, so bleiben nur der name der Aegypter, den auch das verzeichniss giebt, und ein einziges citat eines grammatikers übrig, um ihnen eine stelle in dieser trilogie zu sichern. Nun stehen aber die von jenem grammatiker als aus den Aegyptern angeführten worte in den Schutzflehenden v.* 138. *Dieser umstand ist zu folgendem schlusse benutzt worden: weil ein scholiast sich einmal auf den Agamemnon des Aeschylus wegen einer sache bezieht, die nicht in dem Agamemnon, sondern in dem folgenden stücke,*

den Choephoren, vorkommt, so wird das citat aus den Aegyptern auf dem gleichen irrthum beruhen, und anzunehmen sein, dass die Aegypter mit den Schutzflehenden zusammengehangen haben. Es leuchtet ein, dass hier bloss aus der möglichkeit auf die wirklichkeit geschlossen wurde, wozu um so weniger grund vorhanden war, da bekanntlich die namen der schauspiele, wie der dichter, häufig verwechselt worden sind. Indessen, ehe man eine namenverwechselung annahm, musste man die offenbar verdorbene stelle des grammatikers kritisch prüfen. Sie steht in dem Etymologicum Gudianum s. 227, 37. *(s.* 1161. *Gaisf.) etwas vollständiger als in Cramers Anecdotis Oxoniensibus* II. *s.* 443, 8. *aus einer andern handschrift. In dem Etymologicum lautet sie so:* Ζαγρεύς, ὁ μεγάλως ἀγρεύων, ὡς *(bei Cramer* ὠ*)* "πότνια Γῆ, Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων" ὁ τὴν Ἀλκμαιονίδα *(*Ἀλκμαιωνίδα *das Pariser Etym. bei Gaisf.)* γράψας ἔφη *(*πάντων — ἔφη *fehlen bei Cramer).* τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σχύφῳ *(*ἐν Σχύφῳ *fehlt bei Cramer)* "Ζαγρεῖ τε νῦν με *(*μοι *bei Cramer)* καὶ πολυξένῳ *(*πολυξαίνω *bei Gaisf.)* χαίρειν." ἐν δὲ Αἰγύπτῳ *(*Αἰγυπτίοις *Cramer: nicht im Etym. Gud., wie Cramer angiebt, steht* Αἰγύπτι, *sondern wohl in der handschrift, die er vor sich hatte, aber mit dem Etym. verwechselte)* οὕτως αὐτὸν διὰ *(*ὅν τε αὐτὸν διὰ *bei Gaisf., fehlt bei Cramer)* τὸν Πλούτωνα *(*τὸν Πλοῦτον *bei Gaisf.)* καλεῖ, τὸν ἀγραῖον τὸν πολυξενότατον *(*πολυξενώτατον *bei Cramer,* πολυξαινώτατον *bei Gaisf.)* διὰ *(*τὸν Διὰ *bei Cramer)* τῶν κεκμηκότων. *Da der vers aus dem Sisyphus nicht beweist, was er beweisen soll, dass der Zagreus sohn des Hades genannt worden, dachte Lobeck im Aglaophamus s.* 621. *an eine versetzung der worte. Dieser bedarf es nicht, sondern einer ergänzung des verses. Die stelle des grammatikers ist so zu berichtigen:* Ζαγρεύς, ὁ μεγάλως ἀγρεύων. "πότνια Γῆ, Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων," ὡς ὁ τὴν Ἀλκμαιωνίδα γράψας ἔφη. τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σισύφῳ,

> Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ πατρὶ
> χαίρειν.

Hierauf folgen die worte, die das citat aus den Aegyptern enthalten sollen: ἐν δὲ Αἰγυπτίοις οὕτως αὐτὸν τὸν Πλούτωνα καλεῖ, τὸν ἀγραῖον *u. s. w. Sind hier statt der Schutzflehenden die Aegypter genannt, so musste in der angeführten stelle der name* Ζαγρεύς *vorkommen, wie denn auch ein kritiker* τὸν Ζαγρέα *statt* τὸν ἀγραῖον *als eine ganz sichere emendation aufgestellt hat, wobei jedoch nicht bedacht ist, dass der dichter wohl den artikel würde weggelassen haben. In der handschriftlichen lesart der Schutzflehenden* τὸνταιον, *wovon* τὸν ἀγραῖον *wenig abweicht, kann kaum etwas anderes liegen, als das von Wellauer gesetzte* τὸν γάϊον, *dem der homerische* Ζεὺς καταχθόνιος *entspricht. Betrachtet man nun das in dem Etymologicum an unrechter stelle eingeschobene* διά, *das in Cramers handschrift zugleich mit den beiden vorhergegan-*

genen worten οὕτως αὐτόν fehlt, so dürfte die stelle, wie so häufig, zwei mit einander vermischte excerpte enthalten, deren eines bloss aus den worten bestand ἐν δὲ Αἰγυπτίοις οὕτως αὐτὸν τὸν Πλούτωνα καλεῖ, das andere aber so lautete, ἐν δὲ Ἱκέτισι τὸν Δία,

τὸν γάϊον,
τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων.

Damit fällt die namenverwechselung und der schon an sich schwache beweis, den man darauf gegründet hatte, weg. Es bleibt daher nur noch der name der Aegypter selbst übrig, der einer so benannten tragödie eine stelle in dieser trilogie verschaffen könnte.

Belus, der über Aegypten herrschte, hatte der sage nach zwei söhne, Aegyptus und Danaus. Den Aegyptus schickte er nach Arabien, Danaus blieb in Aegypten. Aegyptus erzeugte funfzig söhne, Danaus funfzig töchter. Später geriethen die beiden brüder in streit über die regierung, und da die söhne des Aegyptus als freier der töchter des Danaus auftraten, flüchtete sich Danaus mit seinen töchtern nach Argos. Mit dieser flucht beginnt die erste tragödie. In Argos werden sie aufgenommen und ihnen schutz zugesagt. Ein herold der Aegyptiaden kommt und versucht die Danaiden mit gewalt fortzuführen. Er wird nachdrücklich zurückgewiesen, und geht ab krieg androhend. Damit endigen die Schutzflehenden. Aegyptus, wie Hygin, vermuthlich aus dem Aeschylus, erzählt, schickt seine söhne nach Argos, mit dem befehl den Danaus umzubringen oder ihm nicht wieder vor augen zu kommen. Die Aegyptiaden bekriegen den Danaus in Argos, der zu schwach um widerstand zu leisten ihnen die töchter verspricht, wenn sie vom krieg abstehen wollen. Sie nehmen das an; er aber, ihnen misstrauend, befiehlt seinen töchtern ihre männer in der hochzeitnacht zu ermorden. Alle vollziehen den befehl, die einzige Hypermnestra ausgenommen. Dies muss der inhalt des zweiten stücks gewesen sein, da das dritte stück, die Danaiden, dem berühmten gericht über die Hypermnestra und wohl auch über die schwestern gewidmet war. Waren nun, wie man kaum zweifeln kann, die söhne des Aegyptus die handelnden personen, so werden sie, wie in den Schutzflehenden die Danaiden, den chor gebildet haben. Dann würde das stück die Aegyptiaden heissen, und könnte nicht die Aegypter genannt sein. Aber, wird vielleicht jemand einwenden, wenn der chor aus den Aegyptiaden bestand, und diese doch in dem stücke ermordet wurden, so würde der letzte act keinen chor gehabt haben. Entweder muss daher überhaupt der chor aus dem ägyptischen heere bestanden haben, das die Aegyptiaden nach Argos geführt hatten, oder diese Aegypter müssen nach der ermordung der Aegyptiaden in die stelle des chors getreten sein. Dagegen lässt sich weder etwas einwenden, noch kann man mehr als die möglichkeit zugeben. Denn dass die ermordung der Aegyptiaden in dieses stück falle, darf man wohl um so zuversichtlicher

annehmen, da ein bruchstück der Danaiden, worin vom erwecken der bräutigame gesprochen wird, aus einer erzählung des im vorhergegangenen stücke vorgefallenen genommen zu sein scheint. Dass die handlung nicht an einem tage vollendet wird, hat der dichter gewiss eben so geschickt von allem auffallenden zu befreien gewusst, wie in den Eumeniden, wo die flucht des Orestes von Delphi nach Athen zwischen die beiden theile des stücks fällt. Wenn wir also weder für den namen der Aegypter noch gegen denselben einen grund haben, so wird auch jeder andere passende name in frage kommen können. Ich kehre daher, ohne jedoch mehr als eine blosse wahrscheinlichkeit behaupten zu wollen, zu den oben genannten Θαλαμοποιοῖς zurück. Es wurde für dieses stück die nachweisung einer hochzeit erfordert, die zu einer erschütternden katastrophe führe. Da nun wohl niemand im stande sein wird, einen bedeutendern bau von hochzeitgemächern, ein grösseres bedürfniss vieler bauleute zu diesem geschäft, und eine erschütterndere katastrophe zu nennen, als dieser fall darbietet, wo funfzig paare an einem tage hochzeit machen, und neun und vierzig männer ermordet werden, so wird die gestellte forderung als erfüllt angesehen und behauptet werden können, dass, so lange nicht ein diese hochzeit an grösse und schrecklichkeit übertreffender fall namhaft gemacht werde, der name Θαλαμοποιοί für keine tragödie besser zu passen scheine, als für das mittelstück zwischen den Schutzflehenden und den Danaiden. Zugleich würden, nach dem, was bereits über dieses stück gesagt worden ist, die Θαλαμοποιοί als der chor zu betrachten sein, der nach der ermordung der Aegyptiaden deren stelle eingenommen habe, auf ähnliche weise wie in den Eumeniden diese durch ihre begleiter vertreten werden.

76.

Pollux VII. 122. καὶ ἐκφάτνωμα δὲ καὶ κῦμα μέρη ἔργων ἐν Αἰσχύλου Θαλαμοποιοῖς·

ἀλλ' ὁ μέν τις Λέσβιον φατνώματι
κῦμ' ἐν τριγώνοις ἐκπεραινέτω ῥυθμοῖς.

τάχα δὲ καὶ οἱ θαλαμοποιοὶ εἶδος τέχνης. Ita haec exhibuit Bekkerus. Antea legebatur καὶ Λέσβιον δὲ καὶ ἐκφατνώματα καὶ κῦμα, et in Aeschyli versibus ἐμπεραινέτω, id quod Toupius emendavit. Scribendum puto καὶ φάτνωμα δὲ καὶ κῦμα. Videtur hoc sensisse etiam F. V. Fritzschius, qui in commentatione de sortitione iudicum p. 52. de hoc loco disputavit, recte vituperans eos, qui φατνώματι ex Aeschyli versibus eiiciendum censuerunt. Hesychius φατνώματα, σανιδώματα. Photius καλυμμάτια, ἅ τινες φατνώματα. οὕτως Ἀριστοφάνης. Servavit Aristophanis versum, qui fuit in Babyloniis, Pollux X. 173. ὡς εὖ καλυμματίοις τὸν οἶκον ἤρεφεν. Est enim καλυμμάτιον pars camerata in laquearibus, quae sunt φατνώματα: quae pars Lesbium cymatium a Vitruvio IV. 6, 2. ut ab Aeschylo dicta est, quod sinuoso flexu curvata sit. Apte comparatum cum his est illud Aristotelis in Ethicis Nicomacheis V. 14. τοῦ γὰρ ἀορίστου ἀόριστος ὁ κανών ἐστιν, ὥς-

περ καὶ τῆς Λεσβίας οἰκοδομῆς ὁ μολίβδινος κανών· πρὸς γὰρ τὸ σχῆμα τοῦ λίθου μετακινεῖται καὶ οὐ μένει ὁ κανών. Quum autem ἐν τριγώνοις ῥυθμοῖς ἐκπεραίνεσθαι iubetur cymatium, apparet laquearia intelligi triquetra, describique singulari arte aedificandum thalamum.

ΘΕΩΡΟΙ Η ΙΣΘΜΙΑΣΤΑΙ.

77.

Athenaeus XIV. p. 629. F. σχήματα δ' ἐστὶν ὀρχήσεως ξιφισμός, καλαθισμός, καλλαβίδες, σκώψ, σκώπευμα. ἦν δὲ ὁ σκὼψ τῶν ἀποσκοπούντων τὸ σχῆμα, ἄκραν τὴν ὑπὲρ τοῦ μετώπου κεκυρτωκότων. μνημονεύει Αἰσχύλος ἐν Θεωροῖς

καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων.

Hesychius σκωπευμάτων, σχῆμα τῆς χειρὸς πρὸς τὸ μέτωπον τιθεμένης, ὥςπερ ἀποσκοπούντων. Photius p. 527, 6. σκώπευμα, σχῆμα σατυρικόν, ὡς καὶ ὁ σκωπός (scribe σκοπός: v. Athen. p. 630. A. Hesych. in v. ὑπόσκοπον χέρα). οὕτως Αἰσχύλος. Illustravit hunc gestum Welckerus *Zeitschr. für alte kunst* I. p. 32. et ad Zoegae diss. p. 357. Ad eundem locum pertinuit fortasse fr. 422.

78.

Hesychius ἰαμβίς. Αἰσχύλος Θεωροῖς ἢ Ἰσθμιασταῖς. τοῖς κιθαρίζουσιν ὁ αὐλὸς συνῄει, καὶ αἱ τοιαῦται κιθαρίσεις ἐλέγοντο παριαμβίδες.

79.

Hesychius ἀποστάς, φυγών· Αἰσχύλος Ἰσθμιασταῖς καὶ Ἀλκμήνῃ. Codex ἰσθάσταις.

80.

Photius p. 655, 12. ψό, ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος. ἔστι δὲ ἀποκομματικοῦ λεξειδίου· ψόθον γὰρ καλοῦσιν. Ἀριστοφάνης. "πλέω γράσου καὶ ψοθοίου καὶ ῥύπου γε καὶ ψόθου·" Αἰσχύλος Θεωροῖς. Dobraeus p. 735. "Lege πλέω γράσου τε καὶ ψόθου· οἷον, καὶ ῥύπου· Αἰσχύλος Θεωροῖς· et intellige quasi statim post ψό sequeretur Αἰσχύλος." G. Dindorfius

πλέω γράσου γε καὶ ψοθοίου καὶ ῥύπου.

Theognostus in Bekkeri Anecd. p. 1432. ψοθοιὸς ὁ ἀκάθαρτος.

ΘΡΗΙΣΣΑΙ.

De Aeschyli tragoediis fata Aiacis et Teucri complexis Opusc. VII. p. 362.

81.

Scholiastes Sophoclis ad Ai. 134. explicans, cur Sophocles ex viris Salaminiis chorum fecerit, τὸ δὲ τῶν αἰχμαλώτων κηδεμονικὸν μέν, ὡς Αἰσχύλος ἐν Θρῄσσαις, οὐ μὴν εὐπρόσωπον· ὅρα γὰρ οἷον τὸ αἰχμαλώτους ἐπιτιμᾶν τῷ Μενελάῳ.

82.

Scholiastes Sophoclis ad Ai. 815. μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὐτρεπίσας τὸ ξίφος ῥῆσίν τινα πρὸ τοῦ θανάτου προφέρεται, ἐπεὶ γελοῖον ἦν κωφὸν εἰςελθόντα περιπεσεῖν τῷ ξίφει. ἔστι

δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια· εἰώθασι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. τί οὖν τὸ αἴτιον; φθάνει Αἰσχύλος ἐν Θρῄσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας. ἴσως οὖν καινοτομεῖν βουλόμενος καὶ μὴ κατακολουθεῖν τοῖς ἑτέρου τινὸς ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον· ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος· εἰκῆ γὰρ κατηγορεῖν ἀνδρὸς παλαιοῦ οὐχ ὅσιον.

83.

Scholiastes Homeri ad Il. XIV. 404. τρωτὸς δὲ ὁ Αἴας ὅλον τὸ σῶμα, οὐχ ὡς Αἰσχύλος τὰ περὶ τὴν μασχάλην. δῆλον δὲ καὶ ἐκ τοῦ ἐπὶ Πατρόκλῳ ἀγῶνος. μονομαχοῦντος γὰρ αὐτοῦ πρὸς Διομήδην φησί "καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοί," ὡς δυναμένου τρωθῆναι. τοῦτο δὲ ὑπονοοῦσι διὰ τὸ μηδέποτε παρ' Ὁμήρῳ τετρῶσθαι αὐτόν. Eustathius p. 995, 2. σημείωσαι καὶ ἐκ τούτου ὅτι τρωτὸς ὅλον ἦν ὁ Αἴας τὸ σῶμα, καὶ οὐ μόνα τὰ περὶ μασχάλην κατὰ Αἰσχύλον καὶ ἄλλους. δῆλον γὰρ ὡς, εἰ μὴ αὐτοὶ ἐρύσαντο, κατηκοντίσθη ἄν. Scholiastes Sophoclis ad Ai. 833. παραδεδομένου δὲ καθ' ἱστορίαν ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτός, διὰ τὸ τὸν Ἡρακλέα τῇ λεοντῇ αὐτὸν σκεπάσαντα κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι διὰ τὸν γωρυτὸν ὃν περιέκειτο. φησὶν δὲ περὶ αὐτοῦ Αἰσχύλος ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο οὐδαμοῦ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ. τόξον ὥς τις ἐντείνων, πρὶν δή τις, φησί, παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ, ὁ δὲ Σοφοκλῆς, ἐριθεῦσαι μέν τι ὡς πρεσβυτέρῳ μὴ βουληθείς, οὐ μὴν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησί "πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ," κατὰ τί δὲ τὴν πλευρὰν μὴ εἰπών. Latere videntur talia fere Aeschyli verba

ἔκαμψε, τόξον ὥς τις ἐντείνων, ξίφος,
πρὶν δὴ παροῦσα δαιμόνων τις εὐφρόνως
ἔδειξεν αὐτῷ.

84.

Aristophanes Ran. 1294. τὸ συγκλινές τ' ἐπ' Αἴαντι. Scholiastes Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δέ φησιν ἐκ Θρῃσσῶν αὐτὸ εἶναι. Scriptum fuisse credo apud Aeschylum

τὸ συγκλινές τ' ἐπ' Αἴαντι ξίφος.

Omissum vulgo τε Bekkeri codices et primus Dobraei ac Baroccianus primaque editio Iuntina praebuerunt. Si omittitur, versus metro caret, nedum orthium praebeat, quae Fritzschii ad Ran. p. 391. est sententia, pedem cum νόμῳ confundentis. Non magis Aeolici versus Aeschylo tribui possunt. Particula autem τε ne apud Aristophanem quidem sensu caret: pendent enim haec quoque a πέμπει.

85.

Hesychius ἄγαις, ζηλώσεσιν. Αἰσχύλος Θρῄσσαις. Codex ἀγαῖς: recte Favorinus ἄγαις. V. Erf. ad Soph. Ant. 4.

Ad Thressas pertinuisse videtur fr. 456.

ΙΕΡΕΙΑΙ.

Hanc fabulam eiusdem cum Iphigenia trilogiae fuisse probabiliter ostendit Welckerus Tril. p. 408. ss. Mus. Rhen. V. (a. 1837.) p. 447. ss. Non commemoratur in indice fabularum.

86.

Aristoteles Eth. Nicom. III. 2. *ὃ δὲ πράττει ἀγνοήσειεν ἄν τις, οἷον λέγοντές φασιν ἐκπεσεῖν αὐτοῖς, ἢ οὐκ εἰδέναι ὅτι ἀπόρρητα ἦν, ὥςπερ Αἰσχύλος τὰ μυστικά.* Ad haec Eustratius p. 40. A. *δοκεῖ γὰρ Αἰσχύλος λέγειν μυστικά τινα ἔν τε ταῖς Τοξοτίσι καὶ Ἱερείαις. καὶ ἐν Σισύφῳ πετροκυλιστῇ καὶ ἐν Ἰφιγενείᾳ καὶ ἐν Οἰδίποδι. ἐν γὰρ τούτοις πᾶσι περὶ Δημήτρας λέγων τῶν μυστικωτέρων περιεργότερον ἅπτεσθαι ἔοικε. λέγει δὲ καὶ περὶ Αἰσχύλου καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ πρώτῳ περὶ Ὁμήρου, ὡς κινδυνεύοντος ἐπὶ σκηνῆς ἀναιρεθῆναι ἐπὶ τῷ τῶν μυστικῶν περιφέρειν* (scr. *προφέρειν*) *τινὰ δοκεῖν, εἰ μὴ προαισθόμενος κατέφυγεν ἐπὶ τὸν τοῦ Διονύσου βωμόν· καὶ Ἀρειοπαγιτῶν αὐτὸν παραιτησαμένων, ὡς ὀφείλοντα κριθῆναι πρῶτον, ἐδόκει ὑπαχθῆναι εἰς δικαστήριον καὶ ἀποφυγεῖν, αὐτῶν τῶν δικαστῶν ἀφέντων μάλιστα, διὰ τὰ πραχθέντα αὐτῷ ἐν τῇ ἐπὶ Μαραθῶνι μάχῃ. ὁ μὲν γὰρ ἀδελφὸς αὐτοῦ Κυναίγυρος* (sic) *ἀπεκόπει τὰς χεῖρας, αὐτὸς δὲ πολλὰ τρωθεὶς ἀνηνέχθη φοράδον* (scr. *φοράδην*). *μαρτυρεῖ δὲ τούτοις καὶ τὸ ἐπίγραμμα τὸ ἐπιγεγραμμένον αὐτοῦ τῷ τάφῳ· "Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τὸ δὲ σῆμα κεύθη ἀποφθινόμενον πυροφόρον."* V. Opusc. II. p. 164. et Lobeckium in Aglaoph. p. 77. seqq.

87.

Macrobius Saturn. V. 22. *In tertio libro* (Aeneidos) *cursim legitur, neque unde translatum sit quaeritur "quae Phoebo pater omnipotens, mihi Phoebus Apollo praedixit."* — *Sed affirmo doctissimum vatem etiam in hoc Aeschylum, eminentissimum tragoediarum scriptorem, secutum, qui in fabula, quae Latine Sacerdotes inscribitur, sic ait*

στέλλειν ὅπως τάχιστα· ταῦτα γὰρ πατὴρ
Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα·

et alibi (Eum. 19.) *"πατρὸς προφήτης ἐστὶ Λοξίας Διός."* Scholiastes Sophoclis ad Oed. Col. 793. *δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμούς, ὡς καὶ ἐν Ἰφικλείᾳ φησί, καὶ Αἰσχύλος ἐν Ἱερείαις, "στέλλειν ὅπως τάχιστα· ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθιεῖ Λοξίᾳ." καὶ Ἀριστοφάνης Ἥρωσιν.*

88.

Aristophanes Ran. 1305.

εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.

Scholiastes in cod. Rav. et Ven. *εὐφημεῖτε μελισσονόμοι· ἐξ Ἱερειῶν Αἰσχύλου.*

89.

Hesychius et Favorinus *Κασωλάβα, οἱ μὲν πόλις, οἱ δὲ κώμη. Αἰσχύλος Ἱερείαις.*

ΙΞΙΩΝ.

Ixionis iniusta et temeraria facinora in cognomine tragoedia et ea quae *Περραιβίδες* vocabatur descripta esse intellexit O. Müllerus in Notitiis litterariis Gottingensibus a. 1827. p. 671. qui Ixionem Gyrtone regnasse dixit, fortasse quod Phlegyae filius a multis nominatus est: non enim me id alibi legere memini: Palaephatus Larissae habitasse scripsit. Sequebatur autem Perrhaebidas Ixion, in qua fabula ille expiabatur.

90.

Hesychius *ἱερεῖτιν, καθαρμοῦ δεομένην, ἱκέτιν. Αἰσχύλος Ἰξίονι.* Codex *ἱερείτην*. Mutaverunt hoc alii in *ἱερῖτιν*, non Lobeckius in prolegomenis pathologiae p. 387. Dicebatur fortasse Ixion tendere *ἱερεῖτιν χέρα*.

91.

Homerici epimerismi in Crameri Anecd. Oxon. I. p. 62, 10. *παρὰ δὲ τὸ ἀλαστῶ ῥῆμα ἀλάστωρ ὁ Ζεύς, ἐπὶ τῶν χαλεπόν τι πρασσόντων· παρηκτικὴ δὲ ἡ εὐθεῖα παρὰ τὴν ἀλάστορος γενικήν. Αἰσχύλος Ἰξίονι*

πρευμενὴς ἀλάστορος·

καὶ Φερεκύδης "ὁ Ζεὺς δὲ ἱκέσιος καὶ ἀλάστορος καλεῖται." Verbis simillimum, re diversum est, quod Orestes in Eumenidibus v. 235. dicit, *δέχου δὲ πρευμενῶς ἀλάστορα*. Fortasse item in Ixione fuit quod Aeschylum dixisse adnotatum est in Anecd. Bekkeri p. 382, 30. *μέγαν ἀλάστορον*, credo in versu dochmiaco.

92.

Stobaeus CXXI. 16. *Αἰσχύλου Ἰξίονος*

βίου πονηροῦ θάνατος εὐκλεέστερος.

93.

Athenaeus IV. p. 177. A. (de tibiis *ἡμιόποις*) *εἰσὶ δ' οἱ αὐλοὶ οὗτοι ἐλάσσονες τῶν τελείων. Αἰσχύλος γοῦν κατὰ μεταφορὰν ἐν Ἰξίονί φησι*

τὸν δ' ἡμίοπον καὶ τὸν ἐλάσσονα
ταχέως ὁ μέγας καταπίνει.

Respexerunt haec verba Pollux VI. 161. *ἡμίοπον αὐλὸν Αἰσχύλος*, et Hesychius, apud quem vitiose scriptum est *ἡμίοπος αὐλός, ὁ ὑποτεταγμένος τῷ τελείῳ, μεταφορικῶς δὲ ἡμίοπος θράσος.* Porsonus falsa de metro opinione motus *καὶ τὸν ἐλάσσω* scribi volebat. Bothio expungenti haec verba ut interpretationis caussa adiecta Erfurdtius (*Königsb. Arch.* 1812. p. 454.) aliique assensi sunt. Poterunt tamen servari, quia, si tibia *ἡμίοπος* minor est, non consequitur ut omnis minor *ἡμίοπος* sit. Comparabatur autem, nisi fallor, temeritas Ixionis ad potentiam Iovis.

94.

Scholiastes Pindari ad Pyth. II. 39. *τὸν Ἰξίονα οἱ μὲν Ἀντίονος γενεαλογοῦσιν, ὡς Αἰσχύλος.* Potuit saepius in illa trilogia dici *Ἀντίονος παῖ.* Recte autem Boeckhius e cod. Gotting. *Ἀντίονος* pro *Ἀντίωνος* reposuit.

ΙΦΙΓΕΝΕΙΑ.

V. ad *Ἱερείας*.

95.

Mystica nonnulla in hac fabula Aeschylus evulgavit: v. fr. 86.

96.

Scholiastes Sophoclis ad Ai. 722. *κυδάζεται, λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων. — Αἰσχύλος ἐν Ἰφιγενείᾳ*

οὔ τοι γυναιξὶ δεῖ κυδάζεσθαι· τί γάρ;

Apud Suidam in v. *κυδάζεται* scriptum est *οὔ τοι γυναιξὶ κυδάζεται.*

97.

Aristophanes Ran. 1302.

κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανέ μου παῖ.

Scholiastes *κύδιστ' Ἀχαιῶν· Ἀρίσταρχος καὶ Ἀπολλώνιος, ἐπισκέψασθε πόθεν εἰσί. Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου. Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.* Cod. Rav. nihil habet praeter *ἐκ Τηλέφου Αἰσχύλου.*

ΚΑΒΕΙΡΟΙ.

98.

Athenaeus X. p. 428. F. *ἐπεὶ καὶ τὸν Αἰσχύλον ἐγὼ φαίην ἂν τοῦτο διαμαρτάνειν· πρῶτος γὰρ ἐκεῖνος καὶ οὐχ, ὡς ἔνιοί φασιν, Εὐριπίδης παρήγαγε τὴν τῶν μεθυόντων ὄψιν εἰς τραγῳδίαν. ἐν γὰρ τοῖς Καβείροις εἰσάγει τοὺς περὶ τὸν Ἰάσονα μεθύοντας. ἃ δ' αὐτὸς ὁ τραγῳδιοποιὸς ἐποίει, ταῦτα τοῖς ἥρωσι περιέθηκε· μεθύων γοῦν ἔγραφε τὰς τραγῳδίας.*

99.

Athenaeus IX. p. 373. D. *ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν, ἀλλὰ καὶ ὄρνιθα. — Αἰσχύλος Καβείροις*

ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ.

100.

Scholiastes Pindari ad Pyth. IV. 303. *πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῶον εἰςελθόντας σκάφος, καὶ Αἰσχύλος Καβείροις.* Libri *κιβήραις:* emendavit Meursius.

101.

Pollux VI. 23. *οἰνηρός — καὶ Αἰσχύλος*

μήτε κρωσσοὺς
μήτ' οἰνηροὺς μήτ' ὑδατηροὺς
λείπειν ἀφνεοῖσι δόμοισιν.

Libri *λιπεῖν:* emendavit Blomfieldius ad Sept. ad Theb. 55. Idem *μήτ' αὖ κρωσσούς*, postea in Museo crit. Cantabr. P. II. p. 188. *μηδ' αὖ κρωσσούς.* Phrynichus in Anecdotis Bekkeri p. 115, 3. *ὑδρηροὺς πίθους καὶ οἰνηρούς. Αἰσχύλος Καβείροις.* Codex *καείραις.*

102.

Plutarchus Symp. II. 1. p. 632. F. *καὶ εἴ τις ἀντιστρέψας αἰτιῷτο τοὺς Αἰσχύλου Καβείρους ὄξους σπανίζειν δῶμα ποιήσαντας, ὥςπερ αὐτοὶ παίζοντες ἠπείλησαν.* V. Lobeck. Aglaoph. p. 1207.

ΚΑΛΛΙΣΤΩ.

103.

Hesychius *Πανίας βήσσας, ὡς ἀπὸ τοῦ Πανός. Αἰσχύλος* Καλλιστοῖ. Codex *ὡς ἐπὶ τοῦ:* Favorinus *ὡς ἀπὸ τοῦ.* Photius p. 377, 17. *Πανιὰς αἶσα, ἀπὸ τοῦ Πανός.*

ΚΑΡΕΣ Η ΕΥΡΩΠΗ.

104.

Stobaeus LI. 26. *Αἰσχύλου Καρῶν*

ἀλλ' Ἄρης φιλεῖ
ἀεὶ τὰ λῷστα πάντα τἀνθρώπων στρατοῦ.

Ingeniose, sed non bene, Valckenarius in Diatr. p. 224. s. *ἀλλ' Ἄρης φιλεῖ γ' ἀεὶ τὰ λῷστα πάντ' ἀμᾶν στρατοῦ.* Erfurdtius ad Soph. Philoct. 437. p. 223. *παντὸς ἀνατρέπων.* Facilius potuisse *πάντ' ἀνατρέπων* dicit G. Dindorfius.

105.

Stephanus Byzantius *Μύλασα, πόλις Καρίας, ἀπὸ Μυλάσου τοῦ Χρυσάορος τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου. λέγεται καὶ Μύλασος, ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ.*

Ad Cares Meinekius refert fr. 357.

ΚΕΡΚΥΩΝ.

106.

Pollux X. 175. *εἴη δ' ἂν καὶ ἀμφωτίδες ἐκ τῶν σκευῶν, Πλάτωνός τε εἰπόντος καὶ ἐν Κερκύονι Αἰσχύλου*

ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας.

107.

Hesychius *ἄμβωνες, αἱ προσαναβάσεις τῶν ὀρῶν. Αἰσχύλος Κερκύονι καὶ Σισύφῳ.* Codex *κερκύονι* (ω supra υ). Erotianus in v. *ἄμβην* p. 86. *καὶ γὰρ οἱ Ῥόδιοι ἄμβωνας καλοῦσι τὰς ὀφρυώδεις τῶν ὀρῶν ἀναβάσεις. μέμνηται τῆς λέξεως καὶ Αἰσχύλος καὶ Ἀριστοφάνης ὁ γραμματικὸς ἐν ταῖς Ἀττικαῖς λέξεσι.*

108.

Hesychius *ἀπεψύχη, ἀπεπνευματίσθη. Αἰσχύλος Κερκύονι σατυρικῷ.* Codex *ἀπεψύχει* et *κερκυόνησατυρικῶ.*

109.

Hesychius *ἀτίσεις, ἀτιμάσεις. Αἰσχύλος Κερκύονι.*

110.

Hesychius *εὐλημανεῖ, λήματος καὶ ἀνδρείας εὖ ἔχει. Αἰσχύλος Κερκύονι σατυρικῷ.* Codex et Favorinus *κερκυόνῃ σατυρικῷ.*

111.

Harpocration *ὅρον, σκεῦός τι γεωργικόν, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὑποσημαίνει. μήποτε μέντοι τὸ ὅρον παρά τε Αἰσχύλῳ ἐν Κερκύονι καὶ παρὰ Μενάνδρῳ ἐν β' Ἐπικλήρῳ σημαίνει ξύλον τι, ᾧ τὴν πεπατημένην*

σταφυλὴν πιέζουσιν. Codices *κεραυνῶνι*. Fabulae nomen omittunt Photius p. 349, 18. et Suidas.

ΚΗΡΥΚΕΣ.

112.

Pollux X. 68. de osculi genere quodam, *μήποτ' οὖν βέλτιον στενόστομον αὐτὸ καλεῖν, εἴρηται δὲ τοὔνομα ἐπὶ ἀμφορέως ἐν σατυρικῷ δράματι Κήρυξι τοῖς Αἰσχύλου,*

στενόστομον τὸ τεῦχος.

113.

Pollux X. 186. *φαίης δ' ἂν καὶ σίσυρναν, Αἰσχύλου μὲν ἐν Κήρυξι σατύροις λέγοντος*

κατὰ τῆς σισύρνης τῆς λεοντέας.

Toupius ad Suidam vol. II. p. 166. *τῆς λεοντείας δορᾶς* explet ex Hesychii et Suidae glossis *λεόντειος δορά* et *λεοντεία δορά*.

114.

Pollux IX. 136. de verbis morari significantibus, *φαῦλον γὰρ τὸ λογγάζειν ἐν τοῖς Κήρυξι τοῖς Αἰσχύλου*. Photius p. 228, 22. *λογγάσω, στραγγεύσομαι, ὃ ἡμεῖς λαγγάσω καὶ λαγγονεύσω λέγομεν· Αἰσχύλος*. Quae apud Photium sequuntur, *δὲ ἐξ ὧν τὰ ἀπόγεια δοῦσιν λογγάσια*, partem esse alius interpretationis quae ad v. *λογγῶνες* pertinebat, G. Dindorfius vidit.

115.

Photius p. 447, 11. *πυρσοκόρσου λέοντος. Αἰσχύλος ἐν Κήρυξι σατύροις.* Cod. *κάρυξι*. Hesychius sine auctore *πυρσοκόρσου λέοντος, πυρροκεφάλου, ξανθοτρίχου.*

116.

Anecdota Bekkeri p. 102, 14. *κακοποιεῖν. Αἰσχύλος Κήρυξιν.*

117.

Anecdota Bekkeri p. 109, 22. *νόσσον, χωρὶς τοῦ ε. Αἰσχύλος Κήρυξιν.*

ΚΙΡΚΗ.

Κίρκη σατυρική in indice fabularum.

118.

Hesychius *αὐτόφορβος, αὐτοφάγος. Αἰσχύλος Κίρκῃ.*

119.

Hesychius *ζυγώσω, δαμάσω, κλείσω, καθέξω. Αἰσχύλος Κίρκῃ σατυρικῇ.* Photius p. 55, 8. *ζυγώσω, καθέξω, δαμάσω.*

ΚΡΗΣΣΑΙ.

120.

Athenaeus II. p. 51. C. *μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος, "ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων·" ἐν δὲ Κρήσσαις καὶ τὰ τῆς βάτου*

λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις
καὶ μιλτοπρέπτοις βρίθεται ταὐτοῦ χρόνου.

Eustathius p. 1254, 24. (1349, 27.) οὕτω *Αἰσχύλος* "πέπλους μελαγχίμους" (Choeph. 11. φάρεσιν μελαγχίμοις) φησίν, ἕτερος δέ τις μελάγχιμα συκάμινα ἐν τῷ "λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις," ὅπερ ἐστὶ μέλασι, "καὶ μιλτοπρέποις," ἤγουν ἐρυθροῖς, "βρίθεται ταὐτοῦ χροιᾷ."

121.

Hesychius ἀτόπαστον, ἀνείκαστον. τοπάζειν γὰρ τὸ εἰκάζειν· καὶ τὸ ὑποτοπῆσαι δὲ ἐνθένδε λέγεται. *Αἰσχύλος Κρήσσαις.* Codex ἀτόπλαστον et ὑπὸ τὸ πονῆσαι. Favorinus ὑποτοπονῆσαι.

122.

Hesychius et Favorinus αὐτορέγμονος πότμου, ὅσον ἑαυτὸν ἔρεζε, καὶ κατευθὺς ἑαυτορέγμονος, παρὰ τὸ ὀρέγειν τὴν χεῖρα. *Αἰσχύλος Κρήσσαις.* Codex κρῆ, unde Musurus Κίρκῃ, quod omisit typographus. Praecedit apud Hesychium glossa, quae apud Favorinum sequitur, αὐτορέγμων, ἑαυτῷ ἐργαζόμενος. Suspicor scribendum esse αὐτορέγμονος πότμου, οἷον ἑαυτοῦ·

ὀρέξεται κατευθὺς αὐτορέγμονος
πότμου.

123.

Hesychius et Favorinus ἐπιξενοῦσθαι, μαρτύρεσθαι, πορεύεσθαι. *Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ* καὶ *Αἰσχύλος Κρήσσαις.*

124.

Photius p. 430, 24. πισσοκωνήτῳ πυρί, τῷ εὐκαύτῳ, ἐπεὶ τὰ καιόμενα πίσσῃ χρίεται. *Αἰσχύλος Κρήσσαις.* Hesychius πισσοκονήτω πυρί (ita codex)· πίσσῃ χρίουσιν, ἵνα τάχιον κατακαίηται. κωνῆσαι δέ ἐστι τὸ περιενεγκεῖν. Hesychius et Favorinus κωνῆσαι, πισσοκοπῆσαι, καὶ κύκλῳ περιενεγκεῖν. καὶ πισσοκόνιτον μόρον λέγουσιν, ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. *Αἰσχύλος Κρήσσαις* καὶ *Κρατῖνος*. Codex αἰσχύλος καὶ κρατῖνος κρήσαις. Genuinum est πισσοκωνήτῳ πυρί, sed idem Aeschylus in eadem fabula idem epitheton ad μόρον apponere potuit.

ΛΑΙΟΣ.

Tetralogia, quae complectebatur Laium, Oedipodem, Septem ad Thebas, Sphingem satyricam, Aeschylus vicit Ol. LXXVIII. 1. V. didascaliam ad Septem ad Thebas in cod. Med. adscriptam.

125.

Hesychius ἀράχνου, ἀπ' εὐθείας ἀράχνης. *Αἰσχύλος Λαΐῳ.*

126.

Scholiastes Aristophanis ad Vesp. 288. in cod. Veneto, ἐγχυτριεῖς· ἀπὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ *Σοφοκλῆς* ἀποκτεῖναι χυτρίζειν ἔλεγεν ἐν *Πριάμῳ*, καὶ *Αἰσχύλος Λαΐῳ* καὶ *Φερεκράτης*. Codex λαξῳ.

Quod Clemens Alexandrinus Strom. II. 15. p. 462. non nominato scriptore affert, ὁ μὲν γὰρ Λάϊος ἐκεῖνος κατὰ τὴν τραγῳδίαν φησίν

λέληθε δ' οὐδὲν τῶνδέ μ' ὧν σὺ νουθετεῖς,
γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται,

ex Aeschyli Laio esse Th. Gatakerus Adv. Misc. p. 529. B. coniiciebat: et fortasse ita est, etsi vere dixit Butlerus posteriorem versum magis Euripidem aut recentiorem aliquem tragicum sapere.

Non recte ad Aeschyli Laium relatum est fr. 406.

ΛΕΩΝ.

127.

Stephanus Byzantius *χώρα,* – *ὅθεν τὸ χωρίτης,* — *Αἰσχύλος ἐν Λέοντι σατυρικῷ*

ὁδοιπόρων δήλημα, χωρίτης δράκων.

Libri *σατυρικὴν* vel *σατυρικὸν* et *ὁδοιπορῶν:* correxit Salmasius Exerc. Plin. p. 889. A.

ΛΗΜΝΙΟΙ.

In indice fabularum.

ΛΥΚΟΥΡΓΟΣ.

De Aeschyli Lycurgia Opusc. V. p. 3. V. ad *Βασσαρίδας.* Aristarchi *ὑπόμνημα Λυκούργου Αἰσχύλου* commemorat scholiastes Theocriti ad X. 18. V. ad Edonos fr. 60.

128.

Athenaeus X. p. 447. B. *τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν, ὡς Σοφοκλῆς ἐν Τριπτολέμῳ "βρῦτον δὲ τὸν χερσαῖον οὐ δυεῖν·" καὶ Ἀρχίλοχος "ὥσπερ παρ'* (*παρ'* addidit G. Dindorfius) *αὐλῷ βρῦτον ἢ Θρῆϊξ* (sic Toupius: libri *θρᾶξ*) *ἀνὴρ ἢ Φρὺξ ἔβρυζε, κύβδα δ' ἦν πονευμένη." μνημονεύει τοῦ πώματος Αἰσχύλος ἐν Λυκούργῳ,*

κἀκ τῶνδ' ἔπινες βρῦτον ἰσχναίνων χρόνῳ,
κἀσεμνοκόμπει τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ.

Libri *τῶν δ'.* Id correxit G. Dindorfius. Idem, quod in codice Laurentiano *ἔπεινε* scriptum videret, non recte *ἔπινε* edidit. Deinde libri *σεμνοκόπτει.* Verbum aliunde non adnotatum *σεμνοκομπεῖν* reponendum esse intellexit Lobeckius ad Phryn. p. 416.

129.

Scholiastes Aristophanis ad Eq. 1147. *Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων,*

καὶ τούσδε κημοὺς στόματος.

130.

Scholiastes Sophoclis ad Oed. Col. 674. *ἀνέχουσα, ἄνω ἔχουσα. ὡς ἐν Λυκούργῳ Αἰσχύλος*

ἄκουε δ' ἂν οὖς ἔχων.

Depromptus est hic versiculus ex melico carmine. Suidas et Favorinus *ἂν οὖς ἔχων, ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων.*

131.

Hesychius ἀνούτατος, ἄτρωτος ἐκ χειρός. Αἰσχύλος Λυκούργῳ. Fortasse huc pertinet quod Hesychius non nominato auctore alibi posuit, ἄβλητος, ἄτρωτος ἐκ βέλους, ut Aeschylus scripserit ἄβλητος ὤν, ἀνούτατος.

ΛΥΤΡΑ.

Eadem quae Phryges.

ΜΕΜΝΩΝ.

132.

Memnon relatus est in indicem fabularum. Praeterea apud Pollucem IV. 109. s. haec leguntur, ὁπότε μὴν ἀντὶ τετάρτου ὑποκριτοῦ δέοι τινὰ τῶν χορευτῶν εἰπεῖν ἐν ᾠδῇ, παρασκήνιον καλεῖται τὸ πρᾶγμα, ὡς ἐν Ἀγαμέμνονι Αἰσχύλου· εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ὀνομάζεται, καὶ πεπρᾶχθαί φασιν αὐτὸ ἐν Μέμνονι Αἰσχύλου. Ita edidit Bekkerus. In aliis codicibus ἐν Μέμνονι legitur, in aliis ἐν Ἀγαμέμνονι. Dictum est de hoc loco in Opusc. VII. p. 347. ss.

Ad Memnonem fortasse pertinent fr. 300. 301. 302. 306. 441. 457.

ΜΥΡΜΙΔΟΝΕΣ.

De Aeschyli Myrmidonibus, Nereidibus, Phrygibus Opusc. V. p. 136.

133.

Harpocration προπεπωκότες, ἀντὶ τοῦ προδεδωκότες. ἐκ μεταφορᾶς δὲ λέγεται. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἐν ἀρχῇ δὲ τῶν Μυρμιδόνων Αἰσχύλος

τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ,
δοριλυμάντους Δαναῶν μοχθοὺς
οὓς . . . . εἴσω κλισίας.

Quod deest verbum Blomfieldius in praefatione ad Persas p. 14. sic restituendum putabat, οὓς σὺ προπίνεις. Heathius eo loco προπεπωκὼς excidisse coniiciebat, qui si non est falsus, credam deinde vel μίμνεις vel θάσσεις vel talorum ludi commemorationem secutam esse, si verum est quod unus scholiastarum Aristophanis scripsit ad Ran. 1447. V. fr. 147. Primum versum Ranis inseruit Aristophanes v. 1023. ubi scholiastes ἔστι δὲ ἀρχὴ αὕτη Μυρμιδόνων Αἰσχύλου.

134.

Aristophanes Ran. 1295.

Φθιῶτ' Ἀχιλλεῦ, τί ποτ' ἀνδροδάϊκτον ἀκούων
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

Alterum versum saepius repetit Aristophanes. Scholiastes τοῦτο ἀπὸ τῶν πρέσβεων πρὸς Ἀχιλλέα Αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ Μυρμιδόνων. προφέρει καὶ Εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ ἄλλων δράματα συναγαγών. διὸ καὶ ἀσαφῆ, μίαν ἁρμονίαν οὐκ ἔχοντα. Et ad v. 1297. προφέρεται δὲ οὐκ ἐφεξῆς τὰ αὐτὰ μέλη αὐτοῦ, ἀλλ' ὡς ἔτυχεν ἄλλο ἄλλοθεν, καὶ

ἐπιλέγει τὸ ἰήκοπον, κυρίως ἐκείνων τῶν στίχων ὄν, τοῦ Φθιῶτ' Ἀχιλλεῦ. In versibus Aeschyli recte meliores codices *Ἀχιλλεῦ:* edebatur ante Bekkerum *Ἀχιλεῦ.* In secundo versu libri *ἰήκοπον.* Scholiastes ad v. 1307. *τινὲς ἀξιοῦσι τὸ ἰὴ ψιλοῦν, ὅταν μὴ ᾖ ἐν ὕμνῳ.* (v. Etym. M. p. 469, 41.) *ἐκεῖ γὰρ δασύνεται. ὡς ἐφυμνίῳ δὲ κέχρηται τῷ ἰήκοπον οὐ πελάθεις.* Eadem iisdem fere verbis Suidas in *ἴη*, addens ille in fine *ἐπ' ἀρωγάν.* Scholiastes *ἀνδροδάϊκτον ἀρωγάν* videtur coniunxisse. Sed tamen quem non admoneat adiectum *ἀκούων* ut sic potius verba et scribenda et interpungenda censeat:

Φθιῶτ' Ἀχιλλεῦ, τί ποτ', ἀνδροδάϊκτον ἀκούων,
ἰή,
κόπον, οὐ πελάθεις ἐπ' ἀρωγάν;

Nam *ἰήκοπος* vereor ne vox sit nihili. Et sic corrigendum esse vidit Heathius. Non probo quae F. V. Fritzschius ad Ranas p. 379. ss. disputavit. — Apud Homerum in nono Iliadis oratores ab Agamemnone missi ad Achillem veniunt Phoenix, Aiax Telamonius, Vlixes, cum Hodio et Eurybate praeconibus, qui precibus donorumque promissione eum moveant, ut opem ferat afflictis. Id imitatum esse Aeschylum quum per se verisimile est, et fragmentis quibusdam Attii proditur, tum nescio an eo referendum sit illud, quod supra attuli ab scholiasta Aristophanis dictum, *τοῦτο γὰρ ἀπὸ τῶν πρέσβεων πρὸς Ἀχιλλέα Αἰσχύλος πεποίηκεν.* Quamquam si legati isti, ut visum est quibusdam, illos versus quos iis tribuit scholiastes recitassent, plane abiiciendum esset illud testimonium. Prorsus enim repugnat legi et consuetudini tragoediae, legatos et oratores canticum canere, quos decebat versibus iambicis orare atque admonere eum ad quem essent missi. Et profecto scholiastes Baroccianus ad v. 1299. illa, quae supra paullo aliter dicta vidimus, his verbis refert, *ἰστέον ὅτι τὸ ἰήκοπον οὐ πελάθεις· ἐπ' ἀρωγὰν παίζων πανταχοῦ ἐπιφέρει, κυρίως ἐκείνων τῶν ἰαμβείων ὄν, τοῦ Φθιῶτ' Ἀχιλεῦ.* Apertum est, utrumque scholiastam errare, hunc, quum illud *ἰήκοπον* ad iambos rettulit, illum, quod melicos versus tribuit legatis. Licebit tamen alterum excusare, alterum etiam defendere: excusare eum, qui iambos nominat, si non imperitia metri, sed, quod legati quoque iambica oratio verbis illis *Φθιῶτ' Ἀχιλλεῦ* incipiebat, confudit duarum partium exordia; defendere alterum, si chorus Myrmidonum e delectis ex Achillis exercitu viris constitit, qui cunctorum Myrmidonum nomine ad eum erant delegati.

135.

Strabo XIII. p. 916. (616.) *ῥεῖ δ' ἐκ τοῦ Τήμνου ποταμὸς Μύσιος, ἐμβάλλων εἰς τὸν Κάϊκον ὑπὸ ταῖς πηγαῖς αὐτοῦ. ἀφ' οὗ δέχονταί τινες εἰπεῖν Αἰσχύλον κατὰ τὴν εἰςβολὴν τοῦ ἐν Μυρμιδόσι προλόγου*

ἰὼ Κάϊκε Μύσιαί τ' ἐπιρροαί.

Macrobius Saturn. V. 20. *hoc in loco ad fidem sensui faciendam, quod uliginosa sint non sola Gargara pro vicinia montis, sed et universa Mysiae arva, adhiberi potest testis Aeschylus, ἰὼ Κάϊκε Μύσιαί τ' ἐπιρροαί.*

Scholiastes Hephaestionis p. 84. (163. Gaisf.) *ἐκτίθημι καθαρὸν ἴαμβον τόνδε, "ἰὼ Κάϊκε Μύσιαί τ' ἐπιρροαί."* Quod Strabo dicit *κατὰ τὴν εἰςβολὴν τοῦ ἐν Μυρμιδόσι προλόγου*, apertum est eum non his verbis usurum fuisse, si totius fabulae exordium voluisset significari. Id dixisset *ἐν ἀρχῇ*, ut Aristophanis scholiastam vidimus. (V. tamen Dindorfium ad schol. Arist. ad Thesm. 1074.) Hinc apparet, quem prologum dicit Strabo, primam esse histrionis orationem iambicam. Optabat fortasse Achilles, ut in Mysia ad Caicum amnem substitisset, nec comitatus ad Troiam esset exercitum Graecorum. Pauwius suspicabatur Strabonem memoriae errore Myrmidones pro Mysis nominasse: persuasitque quibusdam.

136.

Scholiastes Aristophanis ad Av. 1256. *τριέμβολον, πολλάκις ἐμβαλεῖν δυνάμενον. μήποτε δὲ καὶ πλοίου τις ἡ κατασκευή. καὶ γὰρ δεκέμβολον Αἰσχύλος εἶπε τὴν τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσιν.* Eadem Suidas in *τριώβολον*, sed omissis *Αἰσχύλος εἶπε.*

137.

Scholiastes Aristophanis ad Pacem v. 1177. *ὥςπερ ξουθὸς ἱππαλεκτρυών· ὡς φοινικᾶ πτερὰ ἔχοντα δηλοῖ. ὅτι τοῦ παρ' Αἰσχύλῳ πολλάκις κληθέντος ἱππαλεκτρυόνος, ὃν ἀεὶ κωμῳδοῦσιν, ἐν Μυρμιδόσι μέμνηται.* In cod. Veneto *ἄλλως "ἀπὸ δ' αὖτε ξουθὸς ἱππαλεκτρυὼν στάζει κηρόθεν τῶν* (sic apud Dindorfium, apud Bekkerum *κηρ. θέντων*) *φαρμάκων πολὺς πόνος."* Aristophanes Av. 800. *εἶτ' ἐξ οὐδενὸς μεγάλα πράττει κἄστι νυνὶ ξουθὸς ἱππαλεκτρυών.* Scholiastes *παρὰ τὰ γραφέντα ἐκ Μυρμιδόνων Αἰσχύλου, λέγει δὲ ὅτι ἀρτίως μέγας ὄρνις γέγονε καὶ οὐχ ὁ τυχών.* Aristophanes Ran. 962. (940.) *Διόνυσος. νὴ τοὺς θεούς, ἐγὼ γοῦν ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν τίς ἐστιν ὄρνις. Αἰσχύλος. σημεῖον ἐν ταῖς ναυσίν, ὡμαθέσταῖ ἐνεγέγραπτο.* Scholion codicis Rav. *προείρηται ὅτι ἐκ Μυρμιδόνων ἐστὶν ἐπὶ νεώς, "ἐπὶ δ' αἰετὸς ξουθὸς ἱππαλεκτρυών." τὸ δὲ ἵππος ἐπὶ τοῦ μεγάλου.* Latere videntur in corrupta scriptura haec Aeschyli verba:

ἀπὸ δ' αὖτε ξουθὸς ἱππαλεκτρυὼν
στάζει, χριθέντων φαρμάκων πολὺς πόνος.

Vt praecesserit verbum quale *χροία* est, quo crasis fieret in *ἀπό*. Fortasse tamen scripsit Aeschylus *ἀπὸ δ' αὖτε ξουθὸς ἱππαλεκτρυὼν στάζει χριθέντων φαρμάκων πολὺν πόνον.* V. Opusc. V. p. 143. s. Improbavit haec Welckerus in censura eorum quae Letronnius et Rochettus de pictura parietum scripserunt (*Allgem. literaturz.* 1836. II. p. 149.).

138.

Hesychius *ἄγρεμον, τὸν κάμακα, ἀπὸ τοῦ αἱρεῖν καὶ λαμβάνειν, ἤγουν ἀγρεύειν· ἢ λαμπάδα ἢ δόρυ. Αἰσχύλος δὲ Μυρμιδόσιν ἀγρέμονα τὸν ἐπιμήνιον.* Codex *αἰσχύλος δὲ Μυρμή^δ*. Is Meursio in Graecia feriata v. *Νουμηνία* sacrificulus dici visus. Rectius fortasse scriptum est apud Favo-

rinum *Αἰσχύλος ἐν Μυρμιδόσιν*, nisi quod *ἀγρέμονα*, non *ἄγρεμον*, posuisse videtur Aeschylus. Tum nova glossa est *ἀγρέμονα, τὸν ἐπιμήνιον*.

139.

Ad Myrmidones respicit Aeschylus Aristophanis Ran. 1040. *ὅθεν ἡ 'μὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποίησεν Πατρόκλων, Τεύκρων θυμολεόντων*. Ex ea narratione, qua pugnantis Patrocli fortitudo describebatur, sumptum esse coniicio quod non indicato fabulae nomine memorat scholiastes Victorianus ad Il. XVI. 380. ubi quum magno impetu equi Achillis transsiluisse fossam dicantur, sic scribit, *τοῦτο πρὸς τὴν ἀρετὴν τῶν Ἀχιλλέως ἵππων. Ἕκτωρ δὲ αὐτὸ μόνον ἐκαυχήσατο, οὐ μὴν ἐτέλεσεν· "ἵπποι δὲ ῥέα τάφρον"* (Il. VIII. 179.). *Αἰσχύλος δὲ Ἀχιλλέα σὺν τῇ πανοπλίᾳ φησὶν ὄπισθεν ὁρμήσαντα πηδῆσαι τὴν τάφρον, μὴ δείξαντα τὰ νῶτα τοῖς ἐχθροῖς*. Per errorem scriptum est *Ἀχιλλέα* pro *Ἕκτορα*. V. fr. 457. et Opusc. V. p. 145.

140.

Hesychius *ἐγκουράδες, τὰ ἐν τῷ προσώπῳ στίγματα, καὶ οἱ ἐν ταῖς ὀροφαῖς γραφικοὶ προσώπων πίνακες. ἔστι γὰρ κουρὰς ἡ κορυφὴ* (*ὀροφὴ* Struvius in supplementis lexici Schneideri p. 117.) *καὶ ὁ γραπτὸς πίναξ. ἐγκουρὰς δὲ ὁ γεγραμμένος* (*ἔστι γὰρ κουρὰς ἡ κορυφὴ καὶ ἐγκουρὰς ὁ ἐγγεγραμμένος* Lobeckius pathol. p. 451.). *Αἰσχύλος Μυρμιδόσιν*. Idem *κουράς, ἡ ἐν τοῖς ὀροφήμασι γραφή, ὀροφικὸς πίναξ. παρὰ δὲ Αἰσχύλῳ ἐν Μυρμίδοσιν ἀμφιβάλλεται* (sic pro *ἀμφιβάλλει* scribendum) *ἐγκουράδι. ἔστι δὲ ἐγκουρὰς ὀροφικὸς πίναξ*. In his apud Favorinum *ἐν κουράδι*. Apparet dubitasse grammaticos, utrum *ἐγκουράδι* an *ἐν κουράδι* scripsisset Aeschylus.

141.

Athenaeus XIII. p. 601. A. *οὕτω δ' ἐναγώνιος ἦν ἡ περὶ τὰ ἐρωτικὰ πραγματεία, καὶ οὐδεὶς ἡγεῖτο φορτικοὺς τοὺς ἐρωτικούς, ὥστε καὶ Αἰσχύλος, μέγας ὢν ποιητής, καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὁ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν παίδων· διὸ καὶ παιδεραστάν τινες καλοῦσι τὴν τραγῳδίαν· καὶ ἐδέχοντο τὰ τοιαῦτα ᾄσματα οἱ θεαταί*. Plato in Symposio p. 180. A. *Αἰσχύλος δὲ φλυαρεῖ φάσκων Ἀχιλλέα Πατρόκλου ἐρᾶν, ὃς ἦν καλλίων οὐ μόνον Πατρόκλου, ἀλλὰ καὶ τῶν ἡρώων ἁπάντων, καὶ ἔτι ἀγένειος, ἔπειτα νεώτερος πολύ, ὥς φησιν Ὅμηρος*. Tacens in mente habuit Aeschylum Aeschines or. in Timarchum §. 142. Athenaeus XIII. p. 602. E. de puerorum amore, *Αἰσχύλος δὲ καὶ Σοφοκλῆς ἀναφανδὸν ἔφασαν· ὁ μὲν Μυρμιδόσι,*

σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπῃδέσω,
ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

Libri *ἅγιον*: genuinam vocem posuit Th. Canterus Var. lect. II. 9. V. Pors. ad Eur. Med. 750. Apud Plutarchum in Amatorio p. 751. C. omissa illa voce legitur *σέβας δὲ μηρῶν οὐ κατῃδέσω*, et deinde *πικρῶν*. Alterum versum

recte scriptum idem affert in libro de differentia amici et adulatoris p. 61. A. Ad eadem Achillis lamenta Porsonus rettulit proximum fragmentum.

142.

Lucianus Amor. cap. 54. vol. II. p. 457. *ἀλλ' ἦν καὶ τῆς ἐκείνων φιλίας μεσῖτις ἡδονή· στένων γοῦν Ἀχιλλεὺς τὸν Πατρόκλου θάνατον ἀταμιεύτῳ πάθει πρὸς τὴν ἀλήθειαν ἀπερράγη,*

μηρῶν τε τῶν σῶν εὐσέβησ' ὁμιλίαν
κλαίων.

Libri *εὐσεβὴς ὁμιλία καλλίω* vel *καλλίων*. Quod correxi. Et *κλαίων* etiam Dobraeus in Appendice ad Aristoph. p. (129).

143.

Lexicon Coislinianum p. 469. (in Bekkeri Anecd. p. 321, 19.) Suidas, Zonaras p. 8. *ἀβδέλυκτα, ἀμύσακτα, ἀμίαντα. τὰ μὴ μιαίνοντα, ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυσχεράνειε. τραγικωτέρα δὲ ἡ λέξις. Αἰσχύλος* (Suidas addit *Μυρμιδόσι*)

καὶ μήν, φιλῶ γάρ, ἀβδέλυκτ' ἐμοὶ τάδε.

Codex *ἀβδέλυκτα ἐμοὶ τάδε.* Nescio cur Bekkerus haec sic mutaverit, *καὶ μὴν φιλῶ γε κἀβδέλυκτά μοι τάδε.*

144.

Aristophanes Eccles. 392.

Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τριωβόλου
τὸν ζῶντα μᾶλλον· τἀμὰ γὰρ διοίχεται.

Scholiastes *παρὰ τὸ ἐξ Αἰσχύλου Μυρμιδόνων*

Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον.

Etiam *τἀμὰ γὰρ διοίχεται* Aeschyli esse credibile est. Sic visum etiam Gatakero Adv. misc. p. 505. C. Scholiastam sequitur Suidas in *ἀποίμωξον*.

145.

Aristophanes Av. 808.

ταυτὶ μὲν ἠκάσμεσθα κατὰ τὸν Αἰσχύλον
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς.

Scholiastes *κατὰ τὸν Αἰσχύλον· ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν,*

ὡς δ' ἔστι μύθων τῶν Λιβυστικῶν λόγος,
πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν
εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος·
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
ἁλισκόμεσθα.

πεποίηκε γὰρ ὁ Αἰσχύλος ἀετὸν τετρωμένον λέγοντα ταῦτα, ἐπειδὴ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἐμπεπαρμένον αὐτῷ. Aliud scholion *τοῖς αὑτῶν πτεροῖς· ὅλον τοῦτο ἐκ Μυρμιδόνων Αἰσχύλου. τὸ δὲ "οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεσθα" ἀντὶ τοῦ ἑαυτοῖς ταῦτα πε-*

πεποιήκαμεν. Habet Aeschyli versus etiam Suidas in *ταυτὶ μέν*, ubi *ὃ δέ ἐστι μύθων*, et maximam partem in *οὐχ ὑπ' ἄλλων*. Scholiastes Aphthonii in Walzii rhet. II. p. 12. *Λιβυκὸς δὲ αἶνος ἀπὸ τοῦ ἔθνους εἰρῆσθαι λέγεται, ἀπὸ Λίβυός τινος, οἳ δὲ Κύβισσαν εὑρετὴν γενέσθαι τοῦ εἴδους τούτου, ὡς Αἰσχύλος διασαφεῖ, "ὧδ' ἐστὶ μύθων τῶν Λιβυκῶν τὸ κλέος.* Multi scriptores, qui illa paroemia usi Aeschyli versum respexerunt, nominati sunt a Gatakero in Adv. posth. p. 538. s., a Porsono ad Eur. Med. 139. VIII. quicum comparandus Valckenarius ad fr. Callimachi p. 286., a Blomfieldio ad Agam. 796., a Schaefero ad Aesopum p. 136. Adde Galenum de Hippocr. et Plat. placitis T. I. p. 280. ed. Bas. sive T. V. p. 395. ed. Lips.

146.

Scholiastes Aristophanis ad Av. 1420. *πτερῶν, πτερῶν δεῖ· παρὰ τὸ Αἰσχύλου ἐκ Μυρμιδόνων*

ὅπλων, ὅπλων δεῖ.

147.

Aristophanes Ran. 1447. *βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.* Scholiastes *βέβληκ' Ἀχιλλεύς· Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι, Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιεῖλε. μήποτ' οὖν ἐκεῖθεν ἦν. μᾶλλον δὲ ἐσχεδιακὼς ἂν εἴη Ἀριστοφάνης. οὐδὲ γὰρ τὸν Εὐριπίδην τοῦτο προφερόμενον, ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δέ, ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος. οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδώς, "ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτταρα." τοῦτο δὲ Διόνυσος ὑποβάλλει αὐτῷ χλευάζων. ἄλλως· ἐκ Μυρμιδόνων. πεποίηκε γὰρ αὐτοὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέγειν, β', δ', γ', γ', ε'. τοῦτο δὲ λέγει ὁ Διόνυσος, δεικνὺς ὡς Αἰσχύλος νενίκηκε.* Conf. Eustath. p. 1084, 2. (1110, 30.) 1397, 19. (29, 30.) qui Euripidis Telepho hunc versum tribuit. Item Euripidi Photius p. 602, 8. V. ad fr. 133.

ΜΥΣΟΙ.

V. ad Myrmid. fr. 135.

148.

Photius p. 344. et Suidas in v. *ὀργεῶνες*, docentes ita sacerdotes vocari, *καὶ ὁ Αἰσχύλος ἐν Μυσοῖς, τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων,*

ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών,
εὐχαῖς δὲ σώζοις δεσπότας παιωνίαις.

Apud Suidam *σώσεις* et *παιωνίας*. Harpocration *ὀργεῶνας* — *οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μυσοῖς.*

149.

Stephanus Byzantius *Οἶος, πολίχνιον Τεγέας. Αἰσχύλος Μυσοῖς.*

150.

Aristoteles Poet. cap. 24. (25, 8.) p. 94. Tyrwh. *ὥσπερ — ἐν Μυσοῖς ὁ ἄφωνος ἐκ Τεγέας εἰς τὴν Μυσίαν ἥκων.* Reprehendit quod hoc in scena

fiat. Telephum significari ostendit Tyrwhittus collatis Athenaeo VI. p. 224. E. X. p. 421. D. Hygino fab. 244. Tzetze ad Lycophr. 206.

NEANIΣKOI.

De Aeschyli Lycurgia Opusc. V. p. 3. V. ad *Βασσαρίδας*.

151.

Athenaeus XI. p. 503. C. *Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαι φησὶ ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι. Αἰσχύλος Νεανίσκοις*

σαύρας ὑποσκίοισιν ἐν ψυκτηρίοις.

Valckenarius ad Hippol. 199. p. 184. *αὔρας*.

152.

Hesychius *ἀρείφατον λῆμα, ἰσχυρόν, ἀντὶ τοῦ Ἄρει ἐοικώς. Αἰσχύλος Νεανίσκοις*. Favorinus *ἐοικός*.

153.

Hesychius *ἀφοίβαντον, ἀκάθαρτον. Αἰσχύλος Νεανίσκοις*. Codex et Favorinus, qui auctoris et fabulae nomen omittit, *ἀφοίβατον, ἀνακάθαρτον*. In Eumen. v. 236. est *ἀφοίβαντον χέρα*, idque scholiastes ipso illo *ἀκάθαρτον* interpretatur.

154.

Hesychius nullo auctore nominato *ὀκτώπας, ποταμός*. Photius p. 326. *ὀκτώπηχυς καὶ ὀκτώπους· Φιλήμων. ὀκτώπαν ποταμὸν Αἰσχύλος διαπέπλευκε Νεανίσκοις. ὀκτώπας, ἤτοι ὁ σκόρπιος. ὀκτώπους, ἢ ὁ μακρὸς ὀκτὼ ποδῶν*. Hunc fere in modum corrigendum arbitror: *ὀκτώπηχυς καὶ ὀκτώπους. Αἰσχύλος Νεανίσκοις. Φιλήμων ὀκτάπουν, "ποταμὸν διαπέπλευκεν ὀκτάπους." ἤτοι ὁ σκόρπιος ὁ ὀκτώπους, ἢ ὁ μακρὸς ὀκτὼ ποδῶν.*

Ad Neaniscos pertinere videtur fr. 317.

NEMEA.

155.

Opusc. VII. p. 205. "Nomen huius fabulae insertum est indici, sed nihil ex ea nominatim servatum. Referendum tamen ad eam sine dubio, quod scholiastes Pindari in praefatione Nemeorum de institutione istorum ludorum scripsit, *ἄλλοι δέ, ὧν ἐστὶ καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ τῷ Νεμέας παιδί*. Nam sic de illa re refert Apollodorus III. 6, 4. *παραγενόμενοι δὲ εἰς Νεμέαν, ἧς ἐβασίλευσε Λυκοῦργος, ἐζήτουν ὕδωρ· καὶ αὐτοῖς ἡγήσατο τῆς ἐπὶ κρήνην ὁδοῦ Ὑψιπύλη, νήπιον παῖδα ὄντα Ὀφέλτην ἀπολιποῦσα, ὃν ἔτρεφεν, Εὐρυδίκης ὄντα καὶ Λυκούργου. αἰσθόμεναι γὰρ αἱ Λήμνιαι ὕστερον Θόαντα σεσωσμένον, ἐκεῖνον μὲν ἔκτειναν, τὴν δὲ Ὑψιπύλην ἀπημπόλησαν. διὸ πραθεῖσα ἐλάτρευε παρὰ Λυκούργῳ. δεικνυούσης δὲ τὴν κρήνην ὁ παῖς ἀπολειφθεὶς ὑπὸ δράκοντος διαφθείρεται. τὸν μὲν οὖν δράκοντα ἐπιφανέντες οἱ μετὰ Ἀδράστου κτείνουσι, τὸν δὲ παῖδα θάπτουσιν. Ἀμφιάραος δὲ εἶπεν ἐκείνοις τὸ σημεῖον τὰ μέλλοντα προ-*

μαντεύεσθαι τὸν δὲ παῖδα Ἀρχέμορον ἐκάλεσαν. οἳ δὲ ἔθεσαν ἐπ' αὐτῷ τὸν τῶν Νεμέων ἀγῶνα. καὶ ἵππῳ μὲν ἐνίκησεν Ἄδραστος, σταδίῳ δὲ Ἐτέοκλος, πυγμῇ Τυδεύς, ἅρματι καὶ δίσκῳ Ἀμφιάραος, ἀκοντίῳ Λαόδοκος, πάλῃ Πολυνείκης, τόξῳ Παρθενοπαῖος. In his nihil est, ex quo argumentum capi potuisse videatur aptum tragoediae, quae res Thebanas contineret. Nam etsi Opheltae interitus malum omen ducibus Argivis fuit, tamen res adversae, quas haec tragoedia habuit, non his, sed nutrici Opheltae Hypsipylae acciderunt. Quam quum necare propter puerum male custoditum voluerit Eurydice, eoque consilio tenuerit conclusam, servaverint autem monstrante Amphiarao filii eius, de quibus rebus exposuit scholiastes Pindari: non dubitandum videtur, quin Nemea ad illam pertinuerit trilogiam, in qua fuit tragoedia Hypsipyle. Conferre aliquid ad huius rei explicationem poterit pictura eximia in vase, quam edidit a. 1838. Berolini E. Gerhardus in dissertatione, cui titulus *Archemoros und die Hesperiden.*"

ΝΗΡΕΙΔΕΣ.

De Aeschyli Myrmidonibus, Nereidibus, Phrygibus Opusc. V. p. 136.

156.

Scholiastes Euripidis ad Phoen. 209. (219. Barn.) *καὶ Αἰσχύλος Νηρεῖσι*

δελφινηρὸν πεδίον πόντου
διαμειψάμεναι.

Edd. vett. *δελφινορόν.* Codd. Aug. Taur. *δελφίνορον.* Barnesii *δελφινοφόρον* Valckenarius aliique probarunt. At codicis Havn. scriptura *δελφήνηρον* veram, opinor, monstrat vocem alibi non inventam *δελφινηρόν.*

157.

Hesychius *ἐναροφόρος, σκυλοφόρος. ἐναροκτάντας δὲ φθογγ . . . κότος* (sic cod.) *ὑψοῦ τέλος ἀθανάτων ἀπολέψει* (*ἀπολείψει* Musurus). *Αἰσχύλος ἐν Νηρεῖσιν. οἱ ὑπομνηματισταὶ παρὰ τὸ "οὐχ ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι"* (Od. XXII. 412.), *ἵνα ᾖ ὁ νοῦς, ὁ δὲ ἐναροκτάντας θάνατόν μοι* (*μη* cod.) *ἐπικαυχώμενος τὸ ἐκ τῶν θεῶν τέλος ὑψοῦ ἀπολείψει, τὰ τῶν ἀθανάτων ὕψη, καὶ ἐπὶ τοὺς ἐχθροὺς ἥξει.* Eustathius p. 437, 20. (332, 4.) *ἔτι ὁμοίως καὶ ἐκ τοῦ ἐναίρειν καὶ κτείνειν ἐναροκτάντας ὁ θάνατος.* Interpretatio, quam commemoravit Hesychius, sic scribenda est: *ὁ δὲ ἐναροκτάντας θάνατος μὴ ἐπικαυχώμενος τὸ ἐκ τῶν θεῶν τέλος ὑψοῦ ἀπολείψει, τὰ τῶν ἀθανάτων ὕψη, καὶ ἐπὶ τοὺς ἐχθροὺς ἥξει.* Sed tamen vel sic haec multum dubitationis habent. Aeschylum Homerus Il. XVII. 198. seqq. monstrare videtur sic scripsisse

ἐναροκτάντας δὲ φθόνος αὐχαῖς
ἔγκοτος ὑψοῦ
τέλος ἀθανάτων ἀπολείψει,
ἥξει τ' ἐχθρούς.

Vocabulum *αὐχάν* Hesychius *καύχησιν,* omninoque cognata illi nomini verba per *καυχᾶσθαι* interpretantur grammatici. — V. quae dicta sunt in disser-

tatione qua demonstratur non videri Aeschylum Ἰλίου πέρσιν scripsisse p. 3. seqq.

158.

Cum his cohaerebant haec

κάμακος δ' εἰσιν
γλώσσημα διπλοῦν.

Scholiastes Pindari ad Nem. VI. 85. de hasta Achillis, δικροῦν γάρ, ὥςτε δύο αἰχμὰς ἔχειν καὶ μιᾷ βολῇ διττὰ τὰ τραύματα ἀπεργάζεσθαι, καὶ Αἰσχύλος ἐν Νηρεΐσι· "κάμακος εἰσι γλώσσημα διπλάσιον." Id διπλοῦν scripserat Aeschylus, nisi δικροῦν, ut, a quo haec sumpta esse dicit scholiastes, Lesches in parva Iliade δικρόος ἄρδις posuit. V. Lob. ad Phryn. p. 233.

159.

Hesychius ἀθήρ, ἐπιδορατίς. μεταφορικῶς. Αἰσχύλος Νηρεΐσι. Codex Νηρεῖ. Anecdota Bekkeri p. 353, 15. ἀθήρ, ἀκμὴ τοῦ ἠκονημένου σιδήρου, κατὰ μεταφορὰν ἀπὸ τοῦ ἀθέρος, ὅς ἐστι τοῦ ἀστάχυος. λέγεται δὲ καὶ ἡ ἐπιδορατὶς ἀθήρ.

ΝΙΟΒΗ.

De Aeschyli Niobe Opusc. III. p. 37. De loco Aristotelis Poet. cap. 18. conf. Opusc. VII. p. 358. et diss. qua demonstratur non videri Aeschylum Ἰλίου πέρσιν scripsisse p. 6. seqq.

160.

Vita Aeschyli ὥςτε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προςώπων κωμῳδεῖται παρὰ Ἀριστοφάνους. ἐν μὲν γὰρ τῇ Νιόβῃ ἕως τρίτης ἡμέρας ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη, ἐν δὲ τῇ τοῖς Ἕκτορος λυτροῖς Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. Aristophanes Ran. 942. πρώτιστα μὲν γὰρ ἕνα τιν' ἂν καθῖσεν ἐγκαλύψας, Ἀχιλλέα τιν' ἢ Νιόβην, τὸ πρόςωπον οὐχὶ δεικνύς, πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί. Scholiastes ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ' Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λύτροις. οὐδὲν δὲ ὁ Ἀχιλλεὺς φθέγγεται. ἄλλως· εἰκὸς τὸν ἐν Φρυξὶν Ἀχιλλέα ἢ Ἕκτορος λύτροις· ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται. Haec postrema aut hominis sunt indocti, qui quae de Niobe legisset, ad Myrmidones transtulit, aut corrupta aliquot verborum omissione. Scholiastes Aeschyli ad Prom. 437. σιωπῶσι γὰρ παρὰ τοῖς ποιηταῖς τὰ πρόςωπα ἢ δι' αὐθαδίαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ Σοφοκλέους, ἢ διὰ συμφοράν, ὡς ἡ Νιόβη παρ' Αἰσχύλῳ. In his si quid errarunt librarii, credam aliud ex Sophocle commemoratum fuisse: et praebere potuit Sophoclis Oedipus Coloneus: tum autem scripsisse scholiastam ἢ διὰ συμφοράν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ καὶ ἡ Νιόβη παρ' Αἰσχύλῳ. V. Opusc. V. p. 157. Eustathius p. 1940, 64. καὶ γάρ τοι παρὰ Αἰσχύλῳ κάθηνταί που πρόςωπα σιωπῶντα ἐφ' ἱκανὸν κατὰ σχῆμα ἢ πένθους ἢ θαυμασμοῦ ἢ τινος ἑτεροίου πάθους· καὶ ἔοικεν ἡ τραγῳδία ἐντεῦθεν λαβοῦσα (Penelopen Ho-

meri dicit) *τὰ τοιαῦτα σοφίζεσθαι.* Idem p. 1343, 62. de tabula qua Timanthes Agamemnonem capite operto in immolatione Iphigeniae pinxerat, *ὅπερ καὶ Αἰσχύλος μιμούμενος τήν τε Νιόβην καὶ ἄλλα πρόςωπα ὁμοίως ἐσχημάτισε, σκωπτόμενος μὲν ὑπὸ τοῦ κωμικοῦ, ἐπαινούμενος δὲ ἄλλως διὰ τὸ τῆς μιμήσεως ἀξιόχρεων.*

161.

Hephaestio p. 3. (7. Gaisf.), ut ostendat diphthongum etiam in media voce ante vocalem corripi, *Αἰσχύλος ἐν Νιόβῃ*

Ἴστρος τοιαύτας παρθένους λοχεύεται.

Afferunt hunc versum omisso fabulae nomine Priscianus I. 9. p. 562. (I. 47. Kr.) et Eustathius p. 1665, 38. (407, 20.) Nonnulli codices Hephaestionis et Prisciani *οἶστρος.* Eustathius *μνηστεύεται,* Prisciani ed. Ald. *μαιεύεται.* Vereor ne vera scriptura sit

οἶστρος τοιαύτας παρθένους μνηστεύεται.

162.

Hesychius *ἐπώζειν, ἐπικαθῆσθαι τοῖς ᾠοῖς. Αἰσχύλος Νιόβῃ μεταφορικῶς*

ἐφημένη τάφον
τέκνοις ἔπωζε τοῖς τεθνηκόσιν.

Codex *ἐφιμένη τάφον.* Errare grammaticum, Aeschylum autem scripsisse *ἐπῷζε, lamentabatur,* putat A. Nauckius Aristoph. Byz. fragm. p. 162.

163.

Plato de re p. II. p. 380. *οὐδ᾽ αὖ, ὡς Αἰσχύλος λέγει, ἐατέον ἀκούειν τοὺς νέους, ὅτι*

θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ·

ἀλλ᾽ ἐάν τις ποιῇ ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι, τὰ τῆς Νιόβης πάθη etc. Hinc Aeschyli verba affert Eusebius Praep. Eu. XIII. 3. p. 643. D. Habent ea etiam Plutarchus de aud. poet. p. 17. B. et de communibus sententiis p. 1065. E. ac Stobaeus II. 7.

164.

Scholiastes Euripidis ad Phoen. 159. *περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησί "καὶ δὶς ἐπτ᾽ αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν." ὁμοίως* (sic scribendum pro *ὅμως*) *καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀριστοφάνης ἐν δράματι Νιόβης* (scr. *ἐν Δράμασιν ἢ Νιόβῳ*) *ὁμοίως ζ´ αὐτὰς εἶναι λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας.*

165.

Plutarchus de exilio p. 603. A. *τί γὰρ ἡ πλατεῖα χώρα πρὸς τὸν ἄλυπον βίον; οὐκ ἀκούεις τοῦ Ταντάλου λέγοντος ἐν τῇ τραγῳδίᾳ "σπείρω δ᾽ ἄρουραν δώδεκ᾽ ἡμερῶν ὁδόν, Βερέκυντα χῶρον;"* Eadem verba idem alio in libro p. 778. B. affert. Strabo in fine libri XII. p. 870. (580.) quum Niobae quaedam verba commemorasset, ex quo tamen non colligam apud Aeschylum illa antecessisse orationem Tantali, sic ait, *καὶ ὁ Τάνταλος λέγει*

σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδόν,
Βερέκυντα χῶρον, ἔνθ' Ἀδραστείας ἕδος
Ἴδης τε μυκηθμοῖσι καὶ βρυχήμασιν
ἕρπουσι μήλων, πᾶν δ' ἐρεχθεῖ πέδον.

V. 4. *ἕρπουσι μήλων* duo Krameri codices *ux* omittunt. Tum *πᾶν ὀρεχθεῖ ux*, *πᾶν δ' ἐρέχθει Cglruw*, *πᾶν δ' ἐρέχθεον Dhi.* Quod Lobeckius Aglaoph. p. 1216. coniecit *πᾶν δ' ὀρεχθεῖ δάπεδον*, id non magis fert trimeter tragicus quam quod Iacobsius proposuerat *πᾶν τ' ὀρεχθεῖ γῆς πέδον*. Videbar mihi in illo *ἐρέχθεον*, quod libri quidam praebent, melioris scripturae vestigia invenisse, *ἔνθ' Ἀδραστείας ἕδος, Ἴδη τε, μυκηθμοῖσι καὶ βρυχήμασιν πρέπουσα μήλων πᾶν ὀρόχθειον πέδον.* Hesychius *ὄροχθον, ὄρειον ὄχθον.* Idem *ὄρογκοι, τῶν ὀρῶν τὰ ὀγκώδη, ἃ καὶ ὀρόχθους καλοῦσιν, ἢ* (scr. *ἤγουν*) *ὀρῶν λόφους.* H. L. Ahrens Emendat. Theocr. p. 29. pristinam huius loci formam hanc fuisse suspicatur, *Ἴδης τε μυκηθμοῖσι καὶ βρυχήμασιν πρέπουσι μήλων πᾶν ὀρεχθεῖται πέδον.* Confert Eur. Iph. Taur. 367. *αὐλεῖται πᾶν μέλαθρον*, Pind. Ol. XI. 76. *ἀείδετο δὲ πᾶν τέμενος τερπναῖσι θαλίαις.*

166.

Pergit Plutarchus *εἶτα μετ' ὀλίγον λέγοντος*

οὑμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω
ἔραζε πίπτει, καί με προςφωνεῖ τάδε·
γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν.

Codices *θυμὸς δέ ποθ' ἁμός:* correxit Porsonus. V. Miscell. p. 212. Mus. philol. fasc. II. p. 216.

167.

Aristophanes Av. 1246.

ἆρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα,
μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος
καταιθαλώσω πυρφόροισιν αἰετοῖς;

Scholiastes *καὶ δόμους Ἀμφίονος· ἐκ Νιόβης Αἰσχύλου. ἐξέρριπται δὲ τὸ Ἀμφίονος ἐκ παρῳδίας.* Scribendum videtur *ἐνέρραπται.* Putantur Aeschyli esse

καὶ δόμους Ἀμφίονος
καταιθαλώσω πυρφόροισιν αἰετοῖς.

168.

Stobaeus CXVIII. 1. *Αἰσχύλου Νιόβης*

μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ,
οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων ἄνοις,
οὐδ' ἔστι βωμός, οὐδὲ παιωνίζεται·
μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ.

Primum versum posuit Aristophanes in Ranis v. 1392. (1439.) Eundem afferunt schol. Eur. ad Alc. 56. et schol. Soph. ad Electrae v. 139. et hic

quidem adiungens quasi cohaerentia haec verba, *μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος*, quae si Aeschyli verba sunt, ex alio loco petita esse necesse est. Repetit hoc scholion Suidas in v. *πάγκοινος*, qui in illo additamento *μόνος* omittit. In Aeschyli trimetro libri Suidae *γε* pro *γὰρ* exhibent. Tres primos versus afferunt scholiastes Homeri ad Il. IX. 158. et Eustathius p. 744, 2. qui *γὰρ* omittit. Vterque in secundo versu bis *οὐδ'* habet, ubi Stobaeus non recte *οὔτ'*, ultimam autem vocem *λάβοις*, ubi Stobaeus *ναοῖς:* Grotius adnotavit *ἄγοις:* Dobraeus ad Arist. p. (133.) emendavit *ἄνοις*, in quod ego quoque incideram. Versu tertio posui quod apud schol. et Eustathium est: Stobaeus *οὐ βωμός ἐστιν*.

169.

Strabo in fine libri XII. p. 870. (580.) situs locorum ab Aeschylo confusos docens, *Αἰσχύλος δὲ συγχεῖ ἐν τῇ Νιόβῃ· φησὶ γὰρ ἐκείνη μνησθήσεσθαι τῶν περὶ Τάνταλον "οἷς ἐν Ἰδαίῳ πάγῳ Διὸς πατρῴου βωμός ἐστι."* Plato de re p. III. p. 391. E. *πᾶς γὰρ ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι, πεισθεὶς ὡς ἄρα τοιαῦτα πράττουσί τε καὶ ἔπραττον καὶ*

οἱ θεῶν ἀγχίσποροι,
οἱ Ζηνὸς ἐγγύς, ὧν κατ' Ἰδαῖον πάγον
Διὸς πατρῴου βωμός ἐστ' ἐν αἰθέρι,
κοὔπω σφιν ἐξίτηλον αἷμα δαιμόνων.

Primus horum versuum e Strabone his verbis videtur integrandus esse,

μνησθήσομαι δῆθ'.

Lucianus enc. Dem. 13. T. III. p. 501. *τῶν ψυχῶν, ὅσαι Ζηνὸς ἐγγὺς καὶ θεῶν ἀγχίσποροι, φησὶν ὁ τραγικός.* Photius *ἀγχίσποροι, ἐγγὺς γένους.*

170.

Pergit Strabo *καὶ πάλιν*

Σίπυλον, Ἰδαίαν ἀνὰ
χθόνα.

171.

Hesychius *ἠμορίς, κενή, ἐστερημένη. Αἰσχύλος Νιόβῃ.* Codex *ἡμορίς.*

172.

Hesychius *κάκαλα, τείχη. Αἰσχύλος Νιόβῃ.* Photius p. 125, 4. sine auctoris nomine *κάκαλον, τεῖχος.*

173.

Diogenes Laertius VII. 28. de Zenone, *ἐτελεύτα δὲ οὕτως· ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε, καὶ τὸν δάκτυλον περιέρρηξε· παίσας δὲ τὴν γῆν χειρί φησι τὸ ἐκ τῆς Νιόβης*

ἔρχομαι· τί μ' αὔεις;

Valckenarius Diatr. de fr. Eur. p. 13. Sophoclis haec verba esse putat, quod huius dicto usus sit Zeno apud eundem Diogenem §. 19. Mirum vero argumentum: immo non modo per se nullum, sed etiam eo, quod isto loco vix dubitari potest, quin Menagius recte nomen Antisthenis reponendum esse viderit. Si Aeschyli sunt haec verba, sumpsisse hoc inventum ab Aeschylo

videtur Sophocles, quum eodem modo, quo ille Nioben, Oedipum fecit ad inferos vocari. In Nioba imitatus est, ut videtur, Timotheus dithyramborum scriptor, de quo Macho apud Athenaeum VIII. p. 341. C.

174.

Quum apud Philostratum in vita Apollonii IV. cap. 5. p. 173. ed. Mor. sive cap. 16. p. 154. ed. Ol. de Achille scriptum sit *ἀλλὰ σύ, ἔφη, Ἀπολλώνιε, σοφοῖς γὰρ πρὸς σοφοὺς ἐπιτήδεια, τοῦ τε τάφου ἐπιμελήθητι, καὶ τὸ ἄγαλμα τοῦ Παλαμήδους ἀνάλαβε, φαύλως ἐρριμμένον*, Morellus in argumento capitis illius haec verba posuit, *Senarius ex Aeschyli Nioba, σοφοῖς * ἐστι γὰρ πρὸς σοφοὺς ἐπιτήδεια. Prudentibus affinia inter se pleraque.* Quae unde habeat ignoratur. Si Aeschyli verba sunt, non praebent senarium, sed putanda erunt ex trochaeis chori, aliusve personae advenientem conspicientis a Iovis sapientissimi concilio Tantalum, sumpta esse, ubi sic habuerint

ὡς σοφοῖσι πρὸς σοφοὺς
ἐστι κηδεία.

Aristophanes Vesp. 577. *κἂν Οἴαγρος εἰςέλθῃ φεύγων, οὐκ ἀποφεύγει, πρὶν ἂν ἡμῖν ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας.* Scholiastes *ὅτι τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος εἴρηται πρότερον. ὡς θαυμάζων δὲ αὐτόν φησιν, ὅτι κἂν ἐκεῖνος ὁ μέγας καταδικασθῇ. ἐκ τῆς Νιόβης δέ· καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην ἢ Σοφοκλέους ἢ Αἰσχύλου.* Aeschyli fabulam nominavisse videtur Aristophanes, quem poetam maxime admirabatur.

Non sunt Aeschyli versus quos Plutarchus in Consol. ad Apoll. p. 116. B. C. affert.

ΞΑΝΤΡΙΑΙ.

Ad Aeschyli Xantrias Elmsleius adn. c. ad argumentum Baccharum Euripidis respexisse putat Philostratum Imag. I. 18. p. 790. *καὶ ἤδε σοι ἡ ἐλάτη χαμαὶ γυναικῶν ἔργον ἐκ Διονύσου μέγα, πέπτωκε δὲ τὸν Πενθέα ἀποσεισαμένη ταῖς βάκχαις ἐν εἴδει λέοντος, αἳ δὲ καὶ ξαίνουσι τὸ θήραμα μήτηρ ἐκείνη καὶ ἀδελφαὶ μητρὸς αἳ μὲν ἀπορρηγνῦσαι τὰς χεῖρας, ἣ δὲ ἐπισπῶσα τὸν υἱὸν τῆς χαίτης.* V. tamen Boeckhium Graecae Trag. princ. p. 29. et Fritzschium ad Aristoph. Ranas p. 413.

175.

Pollux X. 117. *τὰς μέντοι λαμπάδας καὶ κάμακας εἴρηκεν ἐν Ξαντρίαις Αἰσχύλος·*

κάμακες πεύκης οἱ πυρίφλεκτοι.

176.

Photius p. 326, 19. et Suidas *ὀκτώπουν. Κρατῖνος Θρᾴτταις "ὀκτώπουν ἀνεγείρεις," ἀντὶ τοῦ σκόρπιον. παροιμία γὰρ "σκόρπιον ὀκτώπουν ἀνεγείρεις." ἐν δὲ ταῖς Αἰσχύλου Ξαντρίαις ἡ Λύσσα ἐπιθειάζουσα ταῖς βάκχαις φησίν*

ἐκ ποδῶν δ' ἄνω
ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα
κέντημα γλώσσης, σκορπίου βέλος λέγω.

Lobeckius ad Ai. 60. p. 103. ed. sec. scribendum putat *κέντημα λύσσης.*

177.

Photius p. 409, 10. *πέμφιξ, πνοή. Αἰσχύλος ἐν Ξαντρίαις ἐπὶ τῶν ἀκτίνων.* Galenus in comm. I. ad Hippocratis Epidem. VI. vol. V. p. 455. ed. Bas. vol. IX. p. 385. ed. Chart. vol. XVII. p. 879. ed. Lips. *ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι Σοφοκλῆς ἐν Κολχίσι κατὰ τάδε τὰ ἔπη, "κἂν ἐθαύμασας τηλέσκοπον πέμφιγα χρυσέαν ἰδών"* (V. Opusc. IV. p. 278.) *οὕτω καὶ Αἰσχύλος ἐν Ξαντρίαις,*

ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται,
οὔτ' ἀστερωπὸν ὄμμα Λητῴας κόρης.

Legebatur *ἐξ ἀντιαίαις οὔτε πέμφιξ ἡλίου προσδέρκεται οὔτ' ἀστέρων στόμα Λητῴας κόρης.* Emendavit Bentleius Ep. ad Mill. p. 58. ed. Ox. (Opusc. p. 501. ed. Lips.). V. Opusc. IV. p. 278.

178.

Scholiastes Aeschyli ad Eum. 27. *νῦν φησιν ἐν Παρνάσσῳ εἶναι τὰ κατὰ Πενθέα· ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι.*

179.

Etymol. M. p. 595, 40.

τῶνδε βούλευτις πόνων

ἐν ταῖς Ξαντρίαις.

180.

Aristophanes Ran. 1385. *Νύμφαι ὀρεσσίγονοι.* Scholiastes *ἐκ τῶν Ξαντριῶν Αἰσχύλου* (sic Rav. et Ven. *Εὐριπίδου* Ald. Sequentia omittit Rav.), *φησὶν Ἀσκληπιάδης· εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διαθέντων* (*διαθέτων* cod. Laur., *διασωθέντων αὐτογράφων* Dobraeus, *διασωθέντων* Dindorfius)· "*Νύμφαι ὀρεσιγόνιαι* (*ὀρεσιγόνιοι* Ven.) *θεαῖσιν ἀγείρω, Ἰνάχου Ἀργείου ὑπὸ ποταμοῦ παισὶ βιοδώροις.*" *ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπότακτα. ἄλλως οὐδὲ παρ' Αἰσχύλου ἥρμοζε τὰ τοιαῦτα λαμβάνεσθαι.* Plato de re p. II. 381. D. *μηδὲ Πρωτέως καὶ Θέτιδος καταψευδέσθω μηδείς, μηδ' ἐν τραγῳδίαις μηδ' ἐν τοῖς ἄλλοις ποιήμασιν εἰςαγέτω Ἥραν ἠλλοιωμένην ὡς ἱέρειαν ἀγείρουσαν Ἰνάχου ποταμοῦ παισὶν βιοδώροις.* Contulit Platonis locum Valckenarius Diatr. p. 11. rettulitque haec ad Aeschyli Xantrias, quod eo verisimilius est, quod omnia quae Plato eo in loco habet ad Aeschylum pertinent, tum quod Pausanias aperte ad Aeschyli versus respicit VIII. 6, 6. *ὁ δὲ Ἴναχος ἐφ' ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν διὰ τοῦ ὄρους, τοῦτό ἐστιν Ἀργείοις καὶ Μαντινεῦσιν ὅρος τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ διὰ τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ τούτῳ τὸν Ἴναχον ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν καλοῦσιν Ἀργεῖον.* Pertinent huc quae in Diogenis epist. V. (*Notices et extraits des MSS.* vol. V. 2, p. 241.) de tragicis dicuntur, *οἵτινες Ἥραν τε*

τὴν Διὸς παράκοιτιν ἔφασαν τὴν ἱέρειαν (*εἰς ἱέρειαν* Boissonadius) *μεταμορφωθεῖσαν τοιοῦτον βίου σχῆμα ἀναλαβεῖν, νύμφαις κρήναισιν* (*κρηναίαισιν* Boissonadius) *κυδραῖς θεαῖς ἀγείρουσαν Ἰνάχου Ἀργείαις παισὶν βιοδώροις.* Dindorfio ad fragm. Aeschyli p. 279. Euripidis esse videbatur *Νύμφαι ὀρεσσίγονοι*, cuius verba integra, fortasse ex Aeschyleis expressa, ab antiquo grammatico apposita cum illis coaluissent in scholio et corrupto et defecto: Aeschyli versus fuisse

Νύμφαις κρηναίαις κυδραῖσι θεαῖσιν ἀγείρω,
Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις.

In editione scholiorum Aristophanis illud *Νύμφαι ὀγεσιγόνιαι*, positis lacunae signis, delevit. Fritzschius ad Ran. p. 416. alia excogitavit. Meinekius in diurnis antiq. a. 1843. p. 293. hos Aeschyli versus constituit,

ὀρεσσιγόνοισιν
Νύμφαις κρηνιάσιν κυδραῖσι θεαῖσιν ἀγείρω
Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις.

ΟΙΔΙΠΟΥΣ.

V. ad Laium p. 341.

181.

Mystica nonnulla in hac fabula Aeschylus evulgavit: v. fr. 86.

182.

Quae Eteocles in Sept. ad Theb. 690. significat, *ἐξέζεσαν γὰρ Οἰδίπου κατεύγματα· ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων ὄψεις, πατρῴων χρημάτων δατήριοι*, de iis dictum fuisse necesse est in praegressa tragoedia Oedipo.

Ad Oedipum Valckenarius referebat fr. 347.

ΟΠΛΩΝ ΚΡΙΣΙΣ.

De Aeschyli tragoediis fata Aiacis et Teucri complexis Opusc. VII. p. 362.

183.

Aristophanis Acharn. 883. *πρέσβειρα πεντήκοντα Κωπᾴδων κορᾶν.* Scholiastes ὁ *στίχος ἀπὸ δράματος Αἰσχύλου Ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου, ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρεΐδας τις ἐξελθοῦσας κρῖναι πρὸς τὴν Θέτιν λέγων*

δέσποινα πεντήκοντα Νηρῄδων κορῶν.

Κορῶν Bentleius: *κορᾶν* cod. Ravennas. Ed. Aldina *χορόν*, quod Valckenarius ad Ammonium III. 1. p. 164. in *χοροῦ* mutavit.

184.

Plato de re p. II. p. 383. A. *πολλὰ ἄρα Ὁμήρου ἐπαινοῦντες ἄλλα, τοῦτο οὐκ ἐπαινεσόμεθα, τὴν τοῦ ἐνυπνίου πομπὴν ὑπὸ Διὸς τῷ Ἀγαμέμνονι, οὐδ' Αἰσχύλου, ὅταν φῇ Θέτις τὸν Ἀπόλλωνα ἐν τοῖς αὑτῆς γάμοις ᾄδοντα*

ἐνδατεῖσθαι τὰς ἐὰς εὐπαιδίας
νόσων τ' ἀπείρους καὶ μακραίωνας βίους,
ξύμπαντά τ' εἰπών, θεοφιλεῖς ἐμὰς τύχας
παιᾶν' ἐπευφήμησεν, εὐθυμῶν ἐμέ·
κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα
ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ·
ὃ δ' αὐτὸς ὑμνῶν, αὐτὸς ἐν θοίνῃ παρών,
αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανὼν
τὸν παῖδα τὸν ἐμόν.

Has querelas ex hac fabula sumptas esse vidit Ern. Schneiderus. Repetivit eas ex Platone Eusebius Praep. euang. XIII. 3. ubi perperam scriptum *καὶ μακραίωνος βίου* et *παιών*: nam dubitari non potest quin *παιᾶν' ἐπευφήμησεν*, quod aliquot Platonis codices praebent, scriptum ab Aeschylo fuerit. Primus versus fuerat

ὃ δ' ἐνδατεῖται τὰς ἐὰς εὐπαιδίας.

Neque enim necesse est ut *ἐμάς* scriptum fuisse putemus: nam *ἐάς* indignantis esse potest et exprobrantis quae iactaverit Apollo. Versus 5—9. attulit etiam Athenagoras in legat. pro Christ. p. 22. B. (90. ed. Ox.), versus 7. 8. autem Plutarchus de aud. poet. p. 18. E. ubi pro *θοίνῃ* legitur *δαιτὶ* et *διαίτῃ*, et, qui eos Sophocli tribuit, Phoebammon in Walzii Rhet. vol. VIII. p. 518. ubi scriptum est *ἐν γάμοις*.

185.

Stobaeus XI. 8. *Αἰσχύλου Ὅπλων κρίσεως*

ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη.

Quod Euripides Phoen. 472. sic dixit, *ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.*

186.

Scholiastes Sophoclis ad Ai. 191. *Αἰσχύλος ἐν Ὅπλων κρίσει*

ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,
τῆς σῆς λέγω 'γὼ μητρός, ἥ σ' ἐγείνατο.

Sic Aeschylum, non ut editum est, *λέγω τοι*, scripsisse puto.

187.

Stobaeus CXXI. 23. *Αἰσχύλου ἐν Ὅπλων κρίσει*

τί γὰρ καλὸν ζῆν βίοτον ὃς λύπας φέρει;

Sic emendarunt docti, quum legeretur *βίον*.

188.

Etymol. Gud. p. 567, 34. *χλίδοντα, χλίδην, σωρηδόν, δηλοῖ πλήθους ἔμφασιν, Αἰσχύλος ὁ πλουκρίσει καὶ χεριδόντα, ἀντὶ τοῦ πληθύνοντα.* Haec sic corrigenda videntur, *χλίδον καὶ χλῆδον, σωρόν. δηλοῖ πλήθους ἔμφασιν. Αἰσχύλος Ὅπλων κρίσει "κεχληδότα," ἀντὶ τοῦ πληθύνοντα.*

ΟΣΤΟΛΟΓΟΙ.

Photius p. 353, 15. *ὀστολόγοι, παρ' Ἐπιλύκῳ. καὶ δρᾶμα Αἰσχύλου Ὀστολόγοι.* Fuerunt autem satyricum drama.

189.

Athenaeus XV. p. 667. C. *καὶ Αἰσχύλος δ' ἐν Ὀστολόγοις ἀγκυλητοὺς λέγει κοττάβους διὰ τούτων*

Εὐρύμαχος οὐκ ἄλλος, οὐδὲν ἥσσονας
ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίους ἐμοί.
ἦν μὲν γὰρ αὐτῷ κότταβος ἀεὶ τοῦ μὲν κάρα
τοῦ δ' ἀγκυλητοῦ κοσσάβιός ἐστι σκοπὸς
ἐκτεμὼν ἡβῶσα χεὶρ ἐφίετο.

Idem XI. 22. E. *ἐντεῦθεν νοοῦμεν τοὺς παρ' Αἰσχύλῳ ἀγκυλητοὺς κοττάβους.* — V. 1. pro voce *οὐκ* Casaubonus *οὖν τις*, Heathius *οὖν ὅδ'*, Iacobsius *οὖν οὐκ.* Fortasse *οὗτος* scribendum. — V. 2. *ἐναισίους* Porsonus ad Odyss. *β*, 159: libri *αἰνεσίους*. Lobeckius paralip. p. 506. *ἀνασχετούς.* — V. 3. *τοὐμὸν κάρα* Sam. Petitus Obs. VII. 13. Duorum versuum reliquias coaluisse censet Dindorfius ad Athenaeum. Dobraeus Adv. II. p. 351. *κότταβος* cum Schweighaeusero putat variam lectionem esse vocis *κοσσάβιος* et coniicit scribendum *ἦν μὲν γὰρ αὐτῷ σκοπὸς ἀεὶ τοὐμὸν κάρα,* numeris non bonis. — V. 5. *χεὶρ* Heathius: libri, quantum constat, *χεῖρ'* habent. Dobraeus ita emendare tentavit, *τοῖς δ' ἀγκυλητοῖς κοσσάβοις ἐπίσκοπα ὅσσων ἐμῶν ἡβῶσα χεὶρ ἐφίετο.*

190.

Pollux II. 223. *ἡ δὲ τραγῳδία τὴν ἀμίδα οὐράνην ἐκάλεσεν.* Idem X. 44. *καὶ ἀμίς, ἣν Σοφοκλῆς ἐν Πανδώρᾳ ἐνουρήθραν καλεῖ καὶ Αἰσχύλος οὐράνην·* quae repetunt Etymol. in Crameri Anecd. Paris. IV. p. 12, 13. et Tzetzes schol. in Hermog. in eiusdem Anecd. Oxon. IV. p. 61. Schol. Lycophronis ad v. 778. *παρ' Αἰσχύλῳ φαίνεταί τις τὸν Ὀδυσσέα τύψας ὀστράκῳ, οὐ μὴν παρ' Ὁμήρῳ.* Athenaeus I. p. 17. C. *Αἰσχύλος γοῦν ἀπρεπῶς που παράγει μεθύοντας τοὺς Ἕλληνας, ὡς καὶ τὰς ἀμίδας ἀλλήλοις περικαταγνύναι. λέγει γοῦν*

ὅδ' ἐστὶν ὅς ποτ' ἀμφ' ἐμοὶ βέλος
γελωτοποιόν, τὴν κάκοσμον οὐράνην,
ἔρριψεν, οὐδ' ἥμαρτε· περὶ δ' ἐμῷ κάρᾳ
πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη
χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοί.

Eadem Eustathius habet p. 1828, 27. (642, 40.) Ad *Ὀστολόγους* haec rettulit Welckerus: ad Argivos rettulerant Valesius ad Harpocr. p. 135. et Boeckhius Graecae trag. princ. p. 30. Simillimos versus ex *Ἀχαιῶν συνδείπνῳ* Sophoclis subiicit Athenaeus.

ΠΑΛΑΜΗΔΗΣ.

Non commemoratur in indice fabularum.

191.

Scholiastes Homeri ad Il. IV. 319. de aoristo *ἔκταν* agens, *Αἰσχύλος δὲ Παλαμήδῃ*

τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης;

192.

Athenaeus I. p. 11. E. *ἔστι δ' ἡ τάξις καὶ πρ' Αἰσχύλῳ τῶν ὀνομάτων, ἐν οἷς ὁ Παλαμήδης πεποίηται λέγων*

καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκατοντάρχας
ἔταξα, σῖτον δ' εἰδέναι διώρισα,
ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρίτα.

V. 1. Porsonus *καὶ ταξιάρχας χἀκατοντάρχας στρατῷ.* — Scholiastes Homeri ad Il. II. 381. *Αἰσχύλος δὲ κακῶς "ἄριστα δεῖπνα δόρπα θ' αἱρεῖσθαι* (*τρία* addunt scholia Wassenb.)." *τρισὶ δὲ οὐδέποτε οὔτε μνηστῆρες οὔτε μὴν Κύκλωψ ἐχρῶντο τροφαῖς.* Schol. ad Od. II. 20. *Αἰσχύλος δὲ καὶ τῆς τάξεως τῶν ὀνομάτων μάρτυς, λέγων "ἄριστα, δεῖπνα, δόρπα, αἱρεῖσθαι."* Eustathius p. 242, 22. (183, 36.) *τὸ δὲ παρ' Αἰσχύλῳ "ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι, τρία" ἢ μάλιστα "τρίτα" κατὰ τοὺς παλαιούς, κακῶς ῥηθῆναι κρίνουσιν οἱ παλαιοί.* Idem p. 1358, 4. (1494, 2.) *φησὶ δὲ καὶ Αἰσχύλος "ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι, τρία."* Idem p 1432, 4. (76, 47.) *διὸ καὶ Αἰσχύλος τάττων μετρεῖ "ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι, τρία." ὅτι δὲ τοῦτο αἰτιῶνταί τινες, ἐν τῇ Ἰλιάδι ἐρρέθη.* Idem p. 1791, 42. (590, 5.) *ἔστι δέ φησιν* (Athenaeus) *ἡ τάξις τῶν ὀνομάτων καὶ παρ' Αἰσχύλῳ ἐν οἷς παράγει τὸν Παλαμήδην λέγοντα οὕτω, "σῖτον δ' εἰδέναι διώρισα, ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι, τρία."* Idem p. 1833, 4. (649, 28.) *οὕτω δὲ κατά τινας καὶ τὰς Αἰσχύλου* (scil. *τροφάς*), *εἰπόντος "ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι."* Phrynichus in Anecd. Bekkeri p. 23, 22. *τὴν δὲ τετάρτην δόρπον καλεῖ. ὁ δὲ Αἰσχύλος τρεῖς οἶδεν, ἀφελὼν τὴν δειελινήν.* Ad eundem Aeschyli locum Butlerus rettulit quae apud Platonem de re p. VII. p. 522. D. leguntur: *παγγέλοιον οὖν, ἔφην, στρατηγὸν Ἀγαμέμνονα ἐν ταῖς τραγῳδίαις Παλαμήδης ἑκάστοτε ἀποφαίνει. ἢ οὐκ ἐννενόηκας ὅτι φησὶν ἀριθμὸν εὑρὼν τάς τε τάξεις τῷ στρατοπέδῳ καταστῆσαι ἐν Ἰλίῳ καὶ ἐξαριθμῆσαι ναῦς τε καὶ τἄλλα πάντα, ὡς πρὸ τοῦ ἀναριθμήτων ὄντων καὶ τοῦ Ἀγαμέμνονος, ὡς ἔοικεν, οὐδ' ὅσους πόδας εἶχεν εἰδότος, εἴπερ ἀριθμεῖν μὴ ἐπίστατο;* De hoc Platonis loco dicit Aristides vol. II. p. 260, 13. ed. Iebb.

ΠΕΝΘΕΥΣ.

Aristophanes grammaticus in argumento Baccharum Euripidis *ἡ μυθοποιΐα κεῖται παρ' Αἰσχύλῳ ἐν Πενθεῖ.*

193.

Galenus in comm. I. ad Hippocratis Epidem. VI. vol. V. p. 455. ed. Bas. vol. IX. p. 385. ed. Chart. vol. XVII. p. 880. ed Lips. *ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτός φησιν ἐν Προμηθεῖ — καὶ ἐν Πενθεῖ*

μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς.

ΠΕΡΡΑΙΒΙΔΕΣ.

V. ad Ixionem. — De Ixione Diodorus, quocum ceteri scriptores fere consentiunt, IV. 69. *οὗτος δ', ὥς φασιν, ὑποσχόμενος ἕδνα πολλὰ δώσειν Ἠϊονεῖ ἔγημε τὴν Ἠϊονέως θυγατέρα Δῖαν, ἐξ ἧς ἐγέννησε Πειρίθουν. ἐπειθ' ὁ μὲν Ἠϊονεὺς τὰς ἵππους ἀντὶ τούτων ἐνεχυρίασεν, ὁ δ' Ἰξίων τὸν Ἠϊονέα μετεπέμψατο ἐπαγγελλόμενος πάντα ὑπακούσεσθαι, καὶ τὸν Ἠϊονέα παραγενόμενον ἔβαλεν εἰς βόθρον πυρὸς μεστόν. διὰ δὲ τὸ μέγεθος τῆς παρανομίας μηδένα βούλεσθαι καθᾶραι τὸν φόνον. τέλος δὲ ὑπὸ τοῦ Διὸς κατὰ τοὺς νόμους ἁγνισθεὶς ἠράσθη μὲν τῆς Ἥρας καὶ κατετόλμησεν ὑπὲρ συνουσίας λόγους ποιεῖσθαι. ἔπειτα τὸν μὲν Δία εἴδωλον ποιῆσαι τῆς Ἥρας νεφέλην ἐξαποστεῖλαι, τὸν δὲ Ἰξίονα τῇ νεφέλῃ μιγέντα γεννῆσαι τοὺς ὀνομαζομένους Κενταύρους ἀνθρωποφυεῖς. τέλος δὲ μυθολογοῦσι τὸν Ἰξίονα διὰ τὸ μέγεθος τῶν ἡμαρτημένων ὑπὸ Διὸς εἰς τροχὸν ἐνδεθῆναι καὶ τελευτήσαντα τὴν τιμωρίαν ἔχειν αἰωνίαν.*

194.

Dona nuptialia, quae se daturum Ixion promiserat, poposcisse Eioneum ostendunt versus apud Athenaeum XI. p. 499. A. *Αἰσχύλος δ' ἐν Περραιβίσι φησί*

ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια;
ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα;

Alterum versum hinc affert Eustathius p. 1775, 22. (566, 6.)

195.

Qualia haec dona fuerint indicat locus apud Athenaeum XI. p. 476. C. *Αἰσχύλος δ' ἐν Περραιβίσι τοὺς Περραιβοὺς παρίστησιν ἀντὶ ποτηρίων τοῖς κέρασι χρωμένους διὰ τούτων*

ἀργυρηλάτοις
κέρασι χρυσᾶ στόμια προςβεβλημένοις.

Libri *ἐν περραιβοῖς*, quod Dindorfius correxit. Eustathius p. 917, 62. (883, 15.) *καὶ παρὰ Αἰσχύλῳ ἐν τῷ "ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προβεβλημένοις.* Et *προβεβλημένοις* etiam epitome Athenaei.

196.

Hesychius *ἀπαιόλη, ἀπάτη, ἀποστέρησις. Αἰσχύλος Περραιβίσιν.* Codex *περρίβην.* Anecdota Bekkeri p. 419, 12. *ἀπαιόλη, ἀπάτη ἢ ἀποστέρησις.* Eustathius p. 352, 33. (267, 4.) *ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ῥηθέντος αἰόλλω καὶ ἀπαιόλη γίνεται ἡ ἀπάτη καὶ ἀποστέρησις. Αἰσχύλος*

τέθνηκεν αἰσχρῶς χρημάτων ἀπαιολῇ.

Hinc addidit hunc versum Favorinus in v. *ἀπαιόλη*, qui *αἰσχρῶς* praebet, quum apud Eustathium *αἰσχρὸς* legatur. Apud Eust. scriptum est *ἀπαιόλῃ*, apud Fav. *ἀπαιόλη*. Dixit de accentu huius vocabuli Lobeckius in Ῥηματικῷ p. 256. Cognoscitur mortem quoque Eionei hac tragoedia comprehensam fuisse.

197.

Eustathius p. 1183, 17. (1250, 8.) *ἐπιτήδειος ἐδόκει πρὸς καθαρμὸν ὁ σῦς,*

ὡς δηλοῖ Αἰσχύλος ἐν τῷ

πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου
αὐτός σε χράναι Ζεὺς καταστάξας χεροῖν.

Rettuli haec ad Perrhaebidas. Videtur enim eodem modo quo in Choephoris praedictum esse argumentum fabulae proximae, Ixionis. Ceterum Porsonus ad Eur. Or. 909. inconsiderate scripsit *χράνῃ*. Recte enim se habet optativus, si haec non vatis alicuius, sed alius hominis verba sunt referentis quid vel vates vel oraculum dixisset.

ΠΗΝΕΛΟΠΗ.

198.

Etym. M. p. 31, 4. *αἰδοιέστατος. ἰστέον ὅτι τὸ ἀρχέστατον, ὡς παρὰ Αἰσχύλῳ ἐν Πηνελόπῃ, οἷον*

ἐγὼ γένος μέν εἰμι Κρὴς ἀρχέστατον,

καὶ τὸ αἰδοιέστατον καὶ ἀφθονέστατον ποιητικά εἰσι, κατ' ἔθος Ἰώνων γινόμενα. τὰ γὰρ διὰ τοῦ ο συγκριτικὰ οὗτοι διὰ τοῦ ες προφέρουσιν· οἷον δικαιέστερος καὶ ἀρχέστερος καὶ ἀφθονέστερος. ὤφειλον γὰρ τὰ προειρημένα δικαιότερος εἶναι καὶ αἰδοιότερος καὶ ἀφθονώτερος καὶ ἀρχαιότερος. οὕτω Φιλόξενος εἰς τὸ περὶ συγκριτικῶν. V. Nauck. Aristoph. Byz. fragm. p. 46.

ΠΟΛΥΔΕΚΤΗΣ.

In indice fabularum.

ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

V. fr. 209. 217.

199.

Scholiastes Aristidis p. 190. ed. Fromm. p. 501. ed. Dind. *καὶ Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ*

πολλοῖς γάρ ἐστι κέρδος ἡ σιγὴ βροτῶν.

V. ad fr. 221.

ΠΡΟΜΗΘΕΥΣ ΛΥΟΜΕΝΟΣ.

De Aeschyli Prometheo Soluto Opusc. IV. p. 253. [Dissertatio de Prometheo Aeschyli edita Lipsiae a. 1846. In qua scriptum est p. 14. "Communis opinio est, de cuius veritate non videtur dubitandum esse, trilogiam fuisse, quae omnem de Promethei rebus fabulam complexa fuerit ignifero Prometheo et vincto et soluto."]

200.

Scholiastes Aeschyli ad Promethei Vincti v. 513. (511.) *οὔπω μοι λυθῆναι μεμοίραται· ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται· ὅπερ ἐμφαίνει Αἰσχύλος.* Ita codex Mediceus.

201.

Arrianus in Periplo Ponti Euxini cap. 19. *καί τοι Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ. λέγουσι γοῦν αὐτῷ οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι*

Ἥκομεν —
τοὺς σοὺς ἄθλους τούςδε, Προμηθεῦ,
δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι.

ἔπειτα καταλέγουσιν ὅσην χώραν ἐπῆλθον,

τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης
μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν.

Ed. Bas. *πῇ μὲν* et *πῇ δέ*. Ac vulgo *τῇ δ'*. Eadem scripta fuerunt in Periplo Ponti Euxini et Maeotidis paludis p. 1. ubi primis verbis recisis superest *σμοῦ τε πάθος* et quae sequuntur, in quibus recte scriptum est *ἠδ'*. Cod. Pal. apud Bastium Ep. crit. p. 12. vers. Lat. *πῇ μὲν — πῇ δ'* et ad *Φᾶσιν* addit *ποταμόν*. Procopius Hist. Goth. IV. 6. p. 336, 11. *ἀλλὰ καὶ ὁ τραγῳδιοποιὸς Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳδίας τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ γῆς τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης.* Quod Scholiastes Dionysii perieg. ad v. 10. p. 323. de Tanai dicit, *Αἰσχύλος δὲ ἐν Προμηθεῖ λυομένῳ καὶ Σοφοκλῆς ἐν Σκύθαις ὑπὸ τούτου διορίζεσθαί φησι τὰς ἠπείρους*, error arguitur iis quae scholia Apollonii Rhodii ad IV. 284. habent.

202.

Strabo I. p. 33. (58.) *ὅ τε γὰρ Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ φησὶν οὕτω,*

φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν
χεῦμα θαλάσσης,
χαλκοκέραυνόν τε παρ' Ὠκεανῷ
λίμναν παντοτρόφον Αἰθιόπων,
ἵν' ὁ παντόπτας Ἥλιος αἰεὶ
χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων
θερμαῖς ὕδατος
μαλακοῦ προχοαῖς ἀναπαύει.

V. 3. *χαλκοκέραυνον* suspectum habeo. Intelligerem *χαλκομάραυγον*. — V. 4. *παντοστρόφον* unus codicum Krameri, *παντοτρόφον* ed. Ald. — V. 5. *παντεπόπτας* libri, quod Tyrwhittus correxit. — V. 8. *προχοαῖς τ' ἀναπαύει* codices, ex quo coniici potest fuisse qui *θέρμαις* legerent.

Fortasse ad hos anapaestos pertinebat fr. 356.

203.

Cicero Tusc. disp. II. 10. *Veniat Aeschylus, non poeta solum, sed etiam Pythagoreus: sic enim accepimus. Quomodo fert apud eum Prometheus dolorem quem excipit ob furtum Lemnium, "unde ignis cluet mortalibus clam divisus: eum dictus Prometheus clepsisse dolo poenasque Iovi fato expendisse supremo"* (haec Attii sunt ex Philocteta, v. Opusc. III. p. 117.). *Has igitur poenas pendens affixus ad Caucasum haec dicit,*

Titanum suboles, socia nostri sanguinis,
generata caelo, adspicite religatum asperis
vinctumque saxis, navem ut horrisono freto
noctem paventes timidi adnectunt navitae.
Saturnius me sic infixit Iuppiter,
Iovisque numen Mulcibri arcivit manus.
hos ille cuneos fabrica crudeli inserens
perrupit artus: qua miser sollertia
transverberatus castrum hoc Furiarum incolo.
iam tertio me quoque funesto die
tristi advolatu aduncis lacerans unguibus
Iovis satelles pastu dilaniat fero.
tum iecore opimo farta et satiata affatim
clangorem fundit vastum, et sublime avolans
pinnata cauda nostrum adulat sanguinem.
quum vero adesum inflatu renovatum est iecur,
tum rursum tetros avida se ad pastus refert.
sic hanc custodem maesti cruciatus alo,
quae me perenni vivum foedat miseria.
namque, ut videtis, vinclis constrictus Iovis
arcere nequeo diram volucrem a pectore.
sic me ipse viduus pestis excipio anxias,
amore mortis terminum anquirens mali:
sed longe a leto numine aspellor Iovis
atque haec vetusta saeclis glomerata horridis
luctifica clades nostro infixa est corpori,
e quo liquatae solis ardore excidunt
guttae, quae saxa assidue instillant Caucasi.

A se ipso haec versa esse ostendit paullo post, quum interroganti *interea unde isti versus?* respondet *dicam hercle: etenim recte requiris: videsne abundare me otio?* et alia quae eo spectant. — V. 6. *adscivit* codices: *arcivit* margo ed. Lamb. a. 1584. — V. 13. *tum — satiata* ut Ciceronis affert Priscianus X. p. 907. — V. 14. *advolans* ante Lambinum scribebatur. Nonius p. 17, 10. per errorem ut ex Attii Prometheo ponit, quemadmodum in antiquis libris scriptum est, *tui* (vel *tu*) *mei volans pennata cauda nostrum adulat sanguinem.* — V. 18. *hanc* et mox *quae* Bentleius: legebatur *hunc* et *qui.* — V. 23. *anquirens* Victorius: legebatur *inquirens.*

204.

Hesychius *εἰςαφάσματα, εἰςπτήματα· ἀπὸ τοῦ εἰςαφιέναι· ἢ σπαράγματα. Αἰσχύλος Προμηθεῖ λυομένῳ.* Pertinet fortasse ad Ciceronis v. 11. aut 17.

205.

Plutarchus de fortuna p. 98. C. *νῦν δὲ οὐκ ἀπὸ τύχης οὐδ' αὐτομάτως περιέσμεν αὐτῶν καὶ κρατοῦμεν, ἀλλ' ὁ Προμηθεύς, τουτέστιν ὁ λογισμός, αἴτιος,*

ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς
δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα,

κατ' Αἰσχύλον. Legebatur *ἀντίδωρα,* quod correxit Sallierius in Comm. Acad. inscr. Paris. T. X. p. 340. Nam idem Plutarchus de sollertia animalium p. 964. F. *οὐ γὰρ ἀδικοῦσιν οἱ τὰ ἄμικτα καὶ βλαβερὰ κομιδῇ κολάζοντες καὶ ἀποκτιννύοντες, τὰ δὲ ἥμερα καὶ φιλάνθρωπα ποιούμενοι τιθασὰ καὶ σύνεργα χρείας πρὸς ἣν ἕκαστον εὖ πέφυκεν, "ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονας," ὧν ὁ Αἰσχύλου Προμηθεὺς δοῦναι ἡμῖν φησὶν "ἀντίδουλα καὶ πόνων ἀνδέκτορα."* Legebatur hic *ὀχείαν,* quod correxerunt Reiskius et Wyttenbachius. Porphyrius de abst. III. 18. p. 257. *ἀρκεῖ γὰρ ὅτι μηδὲν πονεῖν δεόμενοι χρώμεθα προκάμνουσι καὶ μοχθοῦσιν, "ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς," ὥς Αἰσχύλος φησίν, "ἀντίδουλα καὶ πόνων ἐκδέκτορα" χειρωσάμενοι καὶ καταζεύξαντες.* Ita fere emendavit Rhoerius. *Ἀνδέκτορα* nescio an praestet.

206.

Stephanus Byzantius *Ἄβιοι, ἔθνος Σκυθικόν. — Αἰσχύλος τε Γαβίους διὰ τοῦ γ ἐν λυομένῳ Προμηθεῖ*

ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον
**βροτῶν* ἁπάντων καὶ φιλοξενώτατον,*
Γαβίους, ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος
τέμνει δίκελλ' ἄρουραν, ἀλλ' αὐτοσπόροι
γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς.

V. 1. *ἥξεις* Stanleius: *ἥξει* libri. Meinekius coniicit *ἴξει.* — V. 2. *βροτῶν* addidi. — V. 4. *δίκελλ'* Holstenius: codices *δικέλλης,* ed. Ald. *δικέλλῃ.* — *αὐτοσπόροι* Meinekius: vulgo *αὐτόσποροι.* — V. 5. *γύαι* vel *γῦαι* codices: legebatur *γέαι.* — Scholiastes Homeri ad Il. XIII. 6. *Ἀβίων, τῶν νομάδων Σκυθῶν — τούτους Αἰσχύλος Γαβίους φησίν.* Eustathius p. 916, 24. (881, 8.) *Αἰσχύλος δὲ φασὶν αὐτοὺς Γανίους λέγει.*

207.

Scholiastes Apollonii Rhodii ad IV. 284. *τὸν Ἴστρον φησὶν ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν. οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλῳ ἐν λυομένῳ Προμηθεῖ λέγοντι τοῦτο.* Paullo haec aliter scripta in cod. Paris. in quo *ἐν Προμηθεῖ* sine cognomine.

208.

Strabo VII. p. 461. (300.) *καὶ Αἰσχύλος δ' ἐμφαίνει συνηγορῶν τῷ ποιητῇ, φήσας περὶ Σκυθῶν*

ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι.

Coniuncta haec fuisse cum Rhipaeorum montium commemoratione probabile videbitur comparanti Hippocratem in libro de aere locis et aquis, qui quum p. 291, 49. de Scythia scribat *κεῖται γὰρ ὑπ' αὐταῖς ταῖς ἄρκτοις καὶ τοῖς ὄρεσι τοῖς Ῥιπαίοισιν, ὅθεν ὁ βορέης πνέει*, paullo ante v. 41. dicit *αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθά, καὶ πίνουσι γάλα ἵππων, καὶ ἱππάκην τρώγουσι· τοῦτο δ' ἐστὶ τυρὸς ἵππων.*

209.

Galenus in comm. I. ad Hippocr. Epidem. VI. vol. V. p. 454. ed. Bas. vol. IX. p. 385. ed. Chart. vol. XVII. p. 879. ed. Lips. de vocabulo *πέμφιξ* disputans, *δοκεῖ μὲν γὰρ αὐτὴν ἐπὶ τῆς πνοῆς Σοφοκλῆς ἐν Κολχίσι λέγειν — Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ*

εὐθεῖαν ἕρπε τήνδε· καὶ πρώτιστα μὲν
Βορεάδας ἥξεις πρὸς πνοάς, ἵν' εὐλαβοῦ
βρόμον καταιγίζοντα, μή σ' ἀναρπάσῃ
δυςχειμέρῳ πέμφιγι συστρέψας ἄφνω.

— *ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτός φησιν ἐν Προμηθεῖ*

ἐξευλαβοῦ δὲ μή σε προςβάλῃ στόμα
πέμφιξ· πικρὰ γάρ, κοὐ διὰ ζωῆς ἀτμοί.

Legebatur *ἑρπετὴν δὲ* et *πρὸς πνοαῖσιν, εὐλαβοῦ* et *συστρέψας ἄνω*. Emendarunt Casaubonus ad Strabonem p. 182. et Bentleius in epistola ad Millium p. 58. ed. Ox. (Opusc. p. 500. ed. Lips.) In altero fragmento legebatur *προςβάλλῃ*. Putant Vinctum Prometheum per errorem pro Soluto dici. Incerta res est: v. Opusc. IV. p. 274. et dissertationem de erroribus Ionis, additam adnotationibus ad Prometheum Vinctum.

210.

Strabo IV. p. 276. seq. (182. seq.) *μεταξὺ γὰρ τῆς Μασσαλίας καὶ τῶν ἐκβολῶν τοῦ Ῥοδανοῦ πεδίον ἐστι τῆς θαλάττης διέχον εἰς ἑκατὸν σταδίους, τοσοῦτον δὲ καὶ τὴν διάμετρον, κυκλοτερὲς τὸ σχῆμα· καλεῖται δὲ Λιθῶδες ἀπὸ τοῦ συμβεβηκότος. μεστὸν γάρ ἐστι λίθων χειροπληθῶν, ὑποπεφυκυῖαν ἐχόντων αὐτοῖς ἄγρωστιν, ἀφ' ἧς ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν· ἐν μέσῳ δ' ὕδατα καὶ ἁλυκίδες ἐνίστανται καὶ ἅλες.* Commemoratis Aristotelis et Posidonii de lapidum illorum origine sententiis ita pergit, *τὸ μέντοι δυςαπολόγητον Αἰσχύλος καταμαθὼν ἢ παρ' ἄλλου λαβὼν εἰς μῦθον ἐξετόπισε. φησὶ γοῦν Προμηθεὺς παρ' αὐτῷ, καθηγούμενος Ἡρακλεῖ τῶν ὁδῶν τῶν ἀπὸ Καυκάσου πρὸς τὰς Ἑσπερίδας,*

ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν·
ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὤν,
μέμψει· πέπρωται γάρ σε καὶ βέλη λιπεῖν
ἐνταῦθ'· ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον
ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακός.

ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτερεῖ,
νεφέλην δ' ὑποσχὼν νιφάδι γογγύλων πέτρων
ὑπόσκιον θήσει χθόν', οἷς ἔπειτα σὺ
βαλὼν διώσεις ῥᾳδίως Λίγυν στρατόν.

V. 2. *εὖ οἶδα* scriptum est apud Dion. Hal. — V. 7. legebatur *στρογγύλον*. Quod Porsonus Misc. p. 212. (Mus. philol. II. p. 216.) pariterque ego et timide Scholefieldius coniecimus *γογγύλων*, meliores Krameri codices confirmarunt. — V. 8. seq. codices *οἷς ἔπειτα συμβαλὼν δῃώσει* (ed. Ald. *δῃώσεις*, et ita unus codex a sec. m.). Emendavit *σὺ βαλὼν* Salmasius Exerc. Plin. p. 42. et *διώσεις* ante alios P. Leopardus Emend. V. 17. — Dionysius Hal. Ant. Rom. I. 41. *δηλοῖ δὲ τὸν πόλεμον τόνδε τῶν ἀρχαίων ποιητῶν Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ. πεποίηται γὰρ αὐτῷ ὁ Προμηθεὺς Ἡρακλεῖ τά τε ἄλλα προλέγων, ὡς ἕκαστον αὐτῷ τι συμβήσεσθαι ἔμελλε κατὰ τὴν ἐπὶ Γηρυόνην στρατείαν, καὶ δὴ καὶ περὶ τοῦ Λιγυστικοῦ πολέμου, ὡς οὐ ῥᾴδιος ὁ ἀγὼν ἔσται διηγούμενος· τὰ δὲ ποιήματα ὧδε ἔχει· "ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν, ἔνθ' οὐ μάχης, εὖ οἶδα, καὶ θοῦρός περ ὤν, μέμψει· πέπρωται γάρ σε καὶ βέλη λιπεῖν."* Hyginus Poet. astr. II. 6. p. 437. *Aeschylus autem in fabula, quae inscribitur Προμηθεὺς λυόμενος, Herculem ait esse non cum dracone, sed cum Liguribus depugnantem. Dicit enim, quo tempore Hercules a Geryone boves abduxerit, iter fecisse per Ligurum fines: quos conatos ab eo pecus abducere, manus contulisse et complures eorum sagittis confixisse: sed postquam Herculem tela deficerent, multitudine barbarorum et inopia armorum defessum se ingeniculasse, multis iam vulneribus acceptis: Iovem autem misertum filii curasse ut circa eum magna lapidum copia esset: quibus se Herculem defendisse et hostes fugasse. Itaque Iovem similitudinem pugnantis inter sidera constituisse.* Theo ad Arati Phaen. v. 75. *οὗτος δέ ἐστι κατά τινας ὁ Ἡρακλῆς· αὐτὸν γὰρ τὸν Ἡρακλέα τοῖς Λίγυσι πολεμοῦντα, ἐπιλιπόντων αὐτῷ τῶν τοξευμάτων, ἐπὶ γόνυ πεσεῖν καὶ λίθοις βάλλειν, οὓς αὐτῷ ὗσεν Ζεύς.*

211.

Strabo I. p. 73. (43.) *Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν, Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους· οὐδὲ γὰρ αὐτοῦ Ὁμήρου ταῦτα μυθεύοντος, ὧν εἰσι καὶ οὗτοι οἱ Πυγμαῖοι, οὐδ' Ἀλκμᾶνος Στεγανόποδας ἱστοροῦντος, οὐδ' Αἰσχύλου Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους.* Idem VII. p. 299. *Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους, Ἀλκμᾶνα δὲ Στεγανόποδας, Αἰσχύλον δὲ Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους, ἐν τῷ Προμηθεῖ φασι, καὶ ἄλλα μύρια.* Vbi *ἐν τῷ Προμηθεῖ φασι* non esse Strabonis recte censent Heynius ad Apollod. p. 1106. et Coraes et omittere dicitur unus codex. (Conf. diss. de erroribus Ionis.) *Μονόμματοι*, quos Strabo utrubique tertios addit, quum Arimaspi sint, de quibus in Vincto Prometheo est, *Κυνοκεφάλους* et *Στερνοφθάλμους* in Her-

culis itineribus describendis in Soluto Prometheo commemoratos esse veri simile est.

212.

Plutarchus in Amatorio p. 757. D. E. ὁ δὲ Ἡρακλῆς ἕτερον θεὸν παρακαλεῖ μέλλων ἐπὶ τὸν ὄρνιν αἴρεσθαι τὸ τόξον, ὡς Αἰσχύλος φησίν,

Ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν ἰθύνοι βέλος.

Sic Wyttenbachius e codice E, cui B accedit: vulgo ἰθύνει.

213.

Plutarchus in ipso vitae Pompeii initio Πρὸς δὲ Πομπήϊον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα σωθεὶς ὑπ' αὐτοῦ καὶ λέγων

ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

Pronomen τοῦτο, quod vel propter genus neutrum, ubi usus masculinum requirit, reprehendum est, aut ab librariis metri explendi caussa insertum est, aut scribendum ἐχθροῦ πατρός μοι ποῦ τὸ φίλτατον τέκνον;

214.

Incertum est, fuerintne quae Apollodorus II. 5, 11. §. 12. refert omnia ab Aeschylo commemorata, καὶ περαιωθεὶς ἐπὶ τὴν ἤπειρον τὴν ἀντικρὺ κατετόξευσεν ἐπὶ τοῦ Καυκάσου τὸν ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ ἀετόν, ὄντα Ἐχίδνης καὶ Τυφῶνος· καὶ τὸν Προμηθέα διέλυσε δεσμὸν ἑλόμενον (sic Galeus: vulgo ἑλόμενος. V. Welck. Tril. p. 47.) τὸν τῆς ἐλαίας, καὶ πάρεσχε τῷ Διῒ Χείρωνα, ἀθάνατον ὄντα, θνήσκειν ἀντ' αὐτοῦ θέλοντα. Iacebat Chiron saucius in antro Peliaco, ut Apollodorus refert II. 5, 4. §. 6. ἀνίατον ἔχων τὸ ἕλκος εἰς τὸ σπηλαῖον ἀπαλλάσσεται, κἀκεῖ τελευτῆσαι βουλόμενος καὶ μὴ δυνάμενος, ἐπείπερ ἀθάνατος ἦν, ἀντιδόντος Προμηθέως τὸν ἀντ' αὐτοῦ τεθνηξόμενον (sic Welckerus Tril. p. 48. vulgo γενησόμενον) οὕτως ἀπέθανε. Quod de Chirone dicit, indicatum est a Mercurio in Prometheo Vincto v. 1030. seqq. τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα, πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων φανῇ, θελήσῃ τ' εἰς ἀναυγητὸν μολεῖν Ἅιδην κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη. De corona testimonium exstat Athenaei XV. p. 674. D. Αἰσχύλος δ' ἐν τῷ λυομένῳ Προμηθεῖ σαφῶς φησὶν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ, ἀντίποινα τοῦ ἐκείνου δεσμοῦ, καίτοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπών "τῷ δὲ ξένῳ γε στέφανος, ἀρχαῖον στέφος, δεσμῶν ἄριστος, ἐκ Προμηθέως λόγου." Hyginus Poet. astr. II. 15. p. 457. de Prometheo, *nonnulli etiam coronam habuisse dixerunt, ut se victorem impune peccasse diceret: itaque homines in maxima laetitia victoriisque coronas habere instituerunt: id in exercitationibus et conviviis perspicere licet.*

215.

Eustathius p. 600, 43. (457, 29.) σχίσματα γάρ τινα καὶ οἱ θύσανοι, ὅθεν ἀρειθύσανοι κατὰ Παυσανίαν Ἄρεος θύσανοι, οἷον ἀποσχίσματα, παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ λυομένῳ. Hesychius ἀρθύσανοι (Favorinus, ut litterarum ordo postulabat, ἀρθρύσανοι), ἀποσχήματα καὶ ἀποβλαστή-

ματα. Idem *ἀριθύσανοι, ἡνίοχοι,* ubi litterarum ordo requirit *ἀρειθύσανοι.*

216.

Proclus ad Hesiodi O. et D. 156. *ἔτ' ἄλλο τέταρτον· τουτέστι τὸ ἐκ Πανδώρας γένος, ἥτις ἦν κατὰ τὸν Αἰσχύλον*

τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή.

Pertinet ad res Promethei Pandora, sed non proditum est in qua fabula eam Aeschylus sic dixerit.

217.

Anecdota Bekkeri p. 116, 7. *χερσά, τὰ μὴ γεωργούμενα. Αἰσχύλος Προμηθεῖ.* Non solum utrum ex Soluto an ex Ignifero Prometheo petitum sit incertum est, sed dubitari etiam potest an ex Vincti loco eo qui intercidit.

ΠΡΟΜΗΘΕΥΣ ΠΥΡΚΑΕΥΣ.

Non commemoratur in indice fabularum. Pollux IX. 156. *ὁ δ' ἐμπρήσας τάχ' ἂν πυρκαεὺς ὀνομάζοιτο, κατ' Αἰσχύλον καὶ Σοφοκλῆν οὕτως ἐπιγράψαντας τὰ δράματα, τὸν μὲν τὸν Προμηθέα, τὸν δὲ τὸν Ναύπλιον.* Satyrica fuit, acta Ol. LXXVI. 4. V. ad Glaucum Potniensem.

218.

Pollux X. 64. *τῶν δὲ γυμνασίοις προσηκόντων σκευῶν — καὶ ὠμόλινον, οὐ Κρατίνου μόνον εἰπόντος τὸ ὠμόλινον, ἀλλὰ καὶ Αἰσχύλου ἐν Προμηθεῖ πυρκαεῖ,*

λινᾶ δέ, πίσσα κώμολίνου μακροὶ τόνοι.

219.

Plutarchus de utilitate ex hostibus capienda p. 86. F. *τοῦ δὲ σατύρου τὸ πῦρ, ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν, ὁ Προμηθεύς*

τράγος γένειον ἆρα πενθήσεις σύ γε.

καίει τὸν ἁψάμενον, ἀλλὰ φῶς παρέχει καὶ θερμότητα. Eustathius p. 415, 7. *Ἥλιος ἀντὶ τοῦ ὦ Ἥλιε, ὁποῖον σὺν ἄλλοις καὶ τὸ "τράγος, γένειον ἆρα πενθήσεις σύ γε" ἀντὶ τοῦ ὦ τράγε, πάνυ στερήσῃ γενείου, εἰ τὴν φλόγα φιλήσεις.* Epiphanius Ancor. p. 108. *ἄλλος δὲ* (Iuppiter) *ὁ τραγῳδός, ὁ καὶ τὴν χεῖρα αὐτοῦ καύσας· τάχα δὲ θεὸς ὢν ἐπελάθετο ὅτι δάκνει τὸ πῦρ, καὶ οὐκ εἶχε τὴν πρόγνωσιν τοῦ λέγοντος τράγῳ τῷ σατύρῳ εὑρόντι πρότερον τὸ πῦρ καὶ προσελθόντι* (Meinekius Philol. III. p. 320. *ὁρῶντι πρῶτον τὸ πῦρ καὶ προσελθόντι καὶ θέλοντι*) *φιλῆσαι "μὴ ἅψῃ, τράγε· ἁψάμενος γὰρ ἐμπρήσεις μου* (σου Meinekius) *τὰ γένεια."*

ΠΡΟΜΗΘΕΥΣ ΠΥΡΦΟΡΟΣ.

V. ad Prometheum Solutum.

220.

Scholiastes Aeschyli ad Prom. Vincti v. 94. *τὸν μυριετῆ, πολυετῆ. ἐν γὰρ τῷ πυρφόρῳ τρεῖς μυριάδας φησὶ δεδέσθαι αὐτόν.* Hyginus Poet. astr. II. 15. p. 456. *Prometheum autem in monte Scythiae nomine Caucaso ferrea catena vinxit: quem alligatum ad triginta milia annorum Aeschylus tragoediarum scriptor ait.*

221.

Gellius N. A. XIII. 18. *id quoque animadvertimus apud Aeschylum ἐν τῷ πυρφόρῳ Προμηθεῖ et apud Euripidem in tragoedia quae inscripta est Ἰνὼ eundem esse versum absque paucis syllabis. Aeschylus sic,*

σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια,

Euripides autem sic, "σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές." *Fuit autem Aeschylus non brevi antiquior.* Similis versus est in Choeph. 576. σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια. Silentium commendat alius versus, quem scholiastes ex Prometheo Vincto affert. V. fr. 199.

ΠΡΟΠΟΜΠΟΙ.

Mentio fabulae apud Alciphronem III. 48. κακὸς κακῶς ἀπόλοιτο καὶ ἄφωνος εἴη Λικύμνιος ὁ τῆς τραγῳδίας ὑποκριτής. ὡς γὰρ ἐνίκα τοὺς ἀντιτέχνους Κριτίαν τὸν Κλεωναῖον καὶ Ἵππασον τὸν Ἀμβρακιώτην τοὺς Αἰσχύλου Προπομπούς, τορῷ τινὶ καὶ γεγωνοτέρῳ φωνήματι χρησάμενος, γαῦρος ἦν καὶ κιττοστεφὴς ἦγε συμπόσιον.

222.

Hesychius δίπολοι, αἰσχύλος διπλαὶ πρόπόμποις. Ita codex. Favorinus δίπολοι, Αἰσχύλος· διπλαῖ, προπομπεῖς. Corrigunt δίπολοι, διπλαῖ. Αἰσχύλος Προπομποῖς. Id vocabulum quum alibi de arvis usurpatum sit, veri simile est γύαι vel ἄρουραι δίπολοι ab Aeschylo scriptum esse.

ΠΡΩΤΕΥΣ.

Acta est haec fabula Ol. LXXX. 2. Argum. Agamemnonis ἐδιδάχθη ἐπὶ ἄρχοντος Φιλοκλέους, Ὀλυμπιάδι ὀγδοηκόστῃ, ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς. Schol. Aristophanis ad Ran. 1155. ἐξ Ὀρεστείας· τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι, Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι, χωρὶς τῶν σατυρικῶν.

223.

Athenaeus IX. p. 394. A. Ἀριστοτέλης φησὶ περιστερῶν μὲν εἶναι ἓν γένος, εἴδη δὲ πέντε, γράφων οὕτως, "περιστερά, οἰνάς, φάψ, φάσσα, τρυγών." ἐν δὲ πέμπτῳ περὶ ζώων μορίων τὴν φάβα οὐκ ὀνομάζει, καίτοι Αἰσχύλου ἐν τῷ τραγικῷ Πρωτεῖ οὕτω μνημονεύοντος τοῦ ὄρνιθος,

σιτουμένην δύστηνον ἀθλίαν φάβα,
μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην.

Τραγικῷ habent AB, omittunt reliqui libri. In Aeschyli verbis, quae epitome omittit, δύστηνον AP, δύστανον Aldina. Tum πρὸς πτύοις Casaubonus: libri, quantum constat, προσπτύοις. Schweighaeuserus πεπληγμένην.

224.

Herodianus περὶ μονήρους λέξεως p. 35, 19. γάρος· Αἰσχύλος Πρωτεῖ σατυρικῷ

καὶ τὸν ἰχθύων γάρον.

Athenaeus II. p. 67. C. ὅτι δ' ἀρσενικόν ἐστι τοὔνομα Αἰσχύλος δηλοῖ εἰπών "καὶ τὸν ἰχθύων γάρον."

225.

Scholiastes Homeri ad Od. IV. 366. Εἰδοθέη· ἀπὸ τῆς εἰδήσεως καὶ ἐπιστήμης τοῦ πατρὸς τὸ ὄνομα. καὶ Αἰσχύλος δὲ ἐν Πρωτεῖ Εἰδοθέαν αὐτὴν καλεῖ. Etym. Gud. p. 316, 30. et correctius codex Paris. 2638. et codex Vossianus apud Gaisf. p. 1445. κερδώ, ὑποκοριστικῶς, ὡς παρ' Αἰσχύλῳ ἡ Εἰδὼ καὶ Ὑψὼ ἀντὶ τοῦ Εἰδοθέα καὶ Ὑψιπύλη. καὶ τὸ κερδὼ δὲ ἀντὶ τοῦ κερδαλέα, ἡ ἀπατητική. Conf. Anecd. Bekkeri p. 857, 9. Schol. Arist. Eq. 1065. in quibus Εἰδώ et Ὑψώ sine auctore commemorantur.

226.

Hesychius et Favorinus ἄελπτοι, δεινοί, καὶ ἄαπτοι. Αἰσχύλος Πρωτεῖ.

227.

Hesychius ἄμαλα, τὴν ναῦν, ἀπὸ τοῦ ἀμᾶν τὴν ἅλα. Αἰσχύλος Πρωτεῖ σατυρικῷ. Sic etiam Favorinus, nisi quod ἀμάλαν. V. ad Suppl. 809.

228.

Hesychius et Favorinus ἐπάσω, ἐκτήσω. Αἰσχύλος Πρωτεῖ σατυρικῷ.

ΣΑΛΑΜΙΝΙΑΙ.

Σαλαμίνιοι in indice fabularum. De Aeschyli tragoediis fata Aiacis et Teucri complexis Opusc. VII. p. 362.

229.

Herodianus περὶ μονήρους λέξεως p. 36, 20. οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος τὸ ᾱ καὶ συστέλλουσι, ὡς παρ' Αἰσχύλῳ ἐν Σαλαμινίαις

εἴ μοι γένοιτο φᾶρος ἶσον ἐν οὐρανῷ,

ἀλλὰ κατὰ συστολὴν παρὰ Σοφοκλεῖ etc. Herodianus περὶ διχρόνων in Crameri Anecd. Oxon. III. p. 295, 13., regulae de prosodia additae libro de emend. rat. Gr. gramm. p. 444., Draco p. 35, 11. ἀναλωγότερόν ἐστι τοῦ ἐκτείνοντος (τὸ ἐκτείνειν regulae) τὸ ᾱ, ὡς παρ' Αἰσχύλῳ ἐν Σαλαμινίαις "ἐμοὶ γένοιτο φᾶρος ἶσον οὐρανῷ."

230.

Hesychius ἀναροιδεῖ, ἀναροφεῖ. Αἰσχύλος Σαλαμῖνες. Emendate Favorinus ἀναρροιβδεῖ, ἀναρροφεῖ, omissis poetae et fabulae nominibus.

231.

Hesychius ἀνήρης, ἀνδρώδης. Αἰσχύλος Σαλαμιν. Favorinus ἀνήρης, ἀνδρώδης· οἱ δὲ ἀνάρμοστος, sine auctore. Vera videtur posterior interpretatio.

232.

Hesychius ἔκλογον, διήγησιν. Αἰσχύλος ἀσαλαμινίαις.

233.

Hesychius et Favorinus κανθύλας, τὰς ἀνοιδήσεις. Αἰσχύλος Σαλαμινίαις.

ΣΕΜΕΛΗ Η ΥΔΡΟΦΟΡΟΙ.

In indice fabularum Σεμέλη ἢ ὑδροφόρος.

234.

Scholiastes Homeri ad Il. IV. 319. de aoristo ἔκταν agens, postquam versum ex Palamede Aeschyli (fr. 191.) attulit, καὶ ἐν Σεμέλῃ ἢ ὑδροφόροις

Ζεύς, ὃς κατέκτα τοῦτον.

235.

Hesychius ἀμφίδρομος. Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα καινὸν περὶ τὰ ἀμφιδρόμια, ὡςεὶ ἔλεγες τὸν γενέθλιον. Favorinus recte ἔλεγε.

236.

Hesychius et Favorinus ἀνταία, ἐναντία, ἱκέσιος. Αἰσχύλος Σεμέλῃ.

237.

Hesychius ἄστερκτα, τὰ οὐ δυνάμενα κατασχεθῆναι. Αἰσχύλος Σεμέλῃ. Favorinus nomina poetae et fabulae omittit. Recte corrigunt ἄστεκτα. Anecd. Bekkeri p. 456, 1. ἄστεκτα, ἀβάστακτα, ἀνυπομόνητα, οὐ δυνάμενα κατασχεθῆναι.

238.

Scholiastes Apollonii Rhodii in cod. Par. ad I. 636. θυάσι, μαινάσι, βάκχαις. παρὰ τὸ θύειν καὶ ὁρμᾶν μαινομένας. διὸ καὶ τὴν Σεμέλην Θυώνην καλοῦσι. παρειςάγει γὰρ αὐτὴν Αἰσχύλος ἔγκυον οὖσαν ἐνθουσιᾶν καὶ τὰς ἁπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθουσιᾶν.

ΣΙΣΥΦΟΣ.

Σίσυφος δραπέτης commemoratur in indice fabularum. Satyrica fuit. V. Welckerum Trilog. p. 555. seqq. De Σισύφῳ πετροκυλιστῇ v. infra.

239.

Pollux X. 77. 78. ἔξεστι δὲ καὶ σκάφην ὀνομάσαι κατ' Αἰσχύλον [που σκάφην] εἰπόντα ἐν Σισύφῳ

καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν.
λεοντοβάμων ποῦ σκάφη χαλκήλατος;

Idem VII. 40. τὸ δὲ τῶν ποδῶν νίπτρον νίπτρα μὲν Αἰσχύλος, Ἀριστοφάνης δὲ ἀπόνιπτρον.

240.

Pollux X. 20. εἴρηται τοίνυν ἐν Αἰσχύλου Σισύφῳ

σὺ δ' ὁ σταθμοῦχος εὖ κατιλλώψας ἄθρει.

241.

Aelianus Hist. an. XII. 5. ἔτι γὰρ καὶ τοὺς Αἰολέας καὶ τοὺς Τρῶας τὸν μῦν προςαγορεύειν σμίνθον, ὥςπεροῦν καὶ Αἰσχύλος ἐν τῷ Σισύφῳ

ἀλλ' ἀρουραῖός τις ἐστὶ σμίνθος ὧδ' ὑπερφυής.

Libri ὡςδ' vel ὡς δ' vel ὧδ' ὑπερφυής. Correxit Schneiderus. Fortasse scribendum ἀλλ' ἀρουραῖος τίς ἐστι σμίνθος ὧδ' ὑπερφυής;

242.

Etymol. Gud. p. 227, 39. et grammaticus in Crameri Anecd. Ox. II. p. 443, 10. τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σισύφῳ (ἐν Σκύφῳ Et. Gud. Omittit cod. Crameri) "Ζαγρεῖ τε νῦν με (μοι cod. Cram.) καὶ πολυξένῳ χαίρειν." Scribendum

*Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ *πατρὶ**
χαίρειν.

V. ad *Θαλαμοποιούς* p. 331.

243.

Etymol. Gud. p. 321, 55. *κίκυς, ἡ δύναμις. Ἀπολλόδωρος ἰκμάς — καὶ Αἰσχύλος ἐν Σισύφῳ· καὶ θανόντων εἰσὶν οὐκ ἐνεστιγμάσει, τὰ σοὶ δ' οὐκ ἔνεστι κίκυς, οὐδ' αἱμόρρυτοι φλέβες, θανόντων φησὶν ἀψύχοις.* Etymol. in Crameri Anecd. Paris. IV. p. 35, 18. *κίκυς, ἡ δύναμις. Ἀπολλόδωρος ἰκμά — καὶ Αἰσχύλος ἐν Σισύφῳ "καὶ θανόντων εἰσὶν οὐκέτι ἰμάσι τὰ σοὶ δ' οὐκ ἔστι κίκυς οὐδὲ αἱμόρρυτοι φλέβες." θανόντων φησὶν ἀψύχων.* Haec ita emendavit Boeckhius ad fragm. Pindari p. 653. *καὶ Αἰσχύλος ἐν Σισύφῳ*

καὶ θανόντων, οἷσιν οὐκ ἔνεστ' ἰκμάς·

εἶτα

σοὶ δ' οὐκ ἔνεστι κίκυς, οὐδ' αἱμόρρυτοι
φλέβες θανόντι·

ὅν φησιν ἄψυχον.

244.

Erotianus p. 118. *διόπῳ, τῷ τῆς νηὸς ἐπιμελητῇ, παρὰ τὸ διοπτεύειν. Ἀττικὴ δὲ ἡ λέξις, κειμένη καὶ παρ' Ἀριστοφάνει ἐν Ἀττικαῖς λέξεσι καὶ παρ' Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ.* Eustathius p. 1705, 53. (465, 26.) *διέπειν τὸ ἐνεργεῖν λέγει, ὅθεν καὶ δίοπος ὁ οἰκονόμος παρ' Αἰσχύλῳ.* Idem Eustathius p. 99, 1. (74, 25.) et p. 203, 11. (154, 5.) Persarum v. 45. respicit. De vocabulo *δίοπος* v. Nauckium Aristoph. Byz. fragm. p. 186. seq.

245.

Hesychius *ἄμβωνες, αἱ προσαναβάσεις τῶν ὀρῶν. Αἰσχύλος Κερκύονι καὶ Σισύφῳ.* V. fr. 107.

ΣΙΣΥΦΟΣ ΠΕΤΡΟΚΥΛΙΣΤΗΣ.

246.

Mystica nonnulla in hac fabula Aeschylus evulgavit: v. fr. 86.

247.

Scholiastes Venetus ad Aristophanis Pacem v. 73. *Αἰτναῖον μέγιστον κάνθαρον· μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. μαρτυροῦσιν δὲ οἱ ἐπιχώριοι. Ἐπίχαρμος —. τρόπον δέ τινα καὶ Αἰσχύλος ἐπιχώριος· λέγει δὲ ἐν Σισύφῳ πετροκυλιστῇ*

Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πονῶν.

Codex *πόνων*. Correxit Dindorfius.

248.

Hesychius *θώψεις, θωπεύσεις. Αἰσχύλος Σισύφῳ πετροκυλιστῇ.* Codex *σεισύφω πετρακυλισθείς.*

ΣΦΙΓΞ.

Sphinx satyrica acta Ol. LXXVIII. 1. V. ad Laium.

249.

Athenaeus XV. p. 674. D. *Αἰσχύλος δ' ἐν τῷ λυομένῳ Προμηθεῖ σαφῶς φησιν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ, ἀντίποινα τοῦ ἐκείνου δεσμοῦ, καίτοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπών*

τῷ δὲ ξένῳ γε στέφανος, ἀρχαῖον στέφος,
δεσμῶν ἄριστος ἐκ Προμηθέως λόγου.

Libri *στέφανον*. Restituit *στέφανος* Grotius in Excerptis p. 49. V. Opusc. IV. p. 282.

250.

Aristophanes Ran. 1319.

Σφίγγα δυςαμερίαν πρύτανιν κύνα.

Scholiastes *Σφίγγα δὲ δυςαμερίαν, τὴν ἐπὶ κακῷ χρόνῳ Θηβαίοις φανεῖσαν, πάροχον θανάτου. ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου.* Bergkius in Diurnis antiq. a. 1835. p. 956. et Dindorfius *δυςαμεριᾶν*. Quod Aristophanes addit *πέμπει*, ex Agamemnone cum proximo versu sumptum est.

251.

Hesychius *χνοῦς, ὁ ἐκ τοῦ ἄξονος ἦχος. λέγεται δὲ καὶ χνοή. καὶ ὁ τῶν ποδῶν ψόφος, ὡς Αἰσχύλος Σφιγγί. τινὲς δέ φασι χνοῦν μὲν ἦχον, χνόην δὲ μέρος τοῦ ἄξονος, ἡ χοινικίς.* Eadem Favorinus.

Ad Sphingem pertinuit fortasse fr. 459.

ΤΗΛΕΦΟΣ.

252.

Plato in Phaedone p. 108. A. *ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει. ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς Ἅιδου φέρειν, ἡ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι.* Dionysius Halic. in Arte rhet. c. 6. p. 40, 30. ed. Sylb. vol. V. p. 265. ed. Reisk. *μία γὰρ καὶ ἡ αὐτὴ οἶμος, κατὰ τὸν Αἰσχύλον, εἰς Ἅιδου φέρουσα.* Ex Phaedone Platonis Clemens Alex. Strom. IV. p. 211. ed. Sylb. 583. ed. Pott. *οὐκ ἔστιν οὖν κατὰ τὸν Αἰσχύλου Τήλεφον νοεῖν ἁπλῆν οἶμον εἰς Ἅιδου φέρειν, ὁδοὶ δὲ πολλαί, καὶ ἀπάγουσαι ἁμαρτίαι.* Parum Aeschyli gravitati prospexit Heindorfius ad Phaed. p. 221. sententiam ita enervans, *ἁπλῆ γὰρ οἶμος πάντας* vel *ἁπλῆ γὰρ ἡμᾶς οἶμος εἰς Ἅιδου φέρει.*

253.

Hesychius *ἀμφιδεξίοις χερσί, ταῖς τῶν τοξοτῶν. διὰ τὸ ἑκατέραν χεῖρα ἐνεργεῖν ἐν τῷ τοξεύειν. Αἰσχύλος Τηλέφῳ.* Codex *ταῖς τῶν τόξων.*

254.

Scholiastes Aristophanis ad Acharn. 331. *τὰ δὲ μεγάλα πάθη ὑποπαίζει τῆς τραγῳδίας, ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον, ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών.*

Versum Ranarum 1302. Aristophanem ex Aeschyli Telepho sumpsisse putavit Timachidas. V. fr. 97.

ΤΟΞΟΤΙΔΕΣ.

Versabatur haec fabula in funesto exitu Actaeonis.

255.

Antigonus Carystius Hist. mirab. cap. 115. (127.) p. 174. ed. Beckm. p. 88. ed. West. *τῶν δὲ θηλέων ζώων ῥοπικώτερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν ἵππον καὶ ἱππομανεῖν ἰσχυρῶς, ὅθεν καὶ πρὸς τὴν βλασφημίαν ἀπὸ τούτου μεταφέρεσθαι καὶ τὰς πρὸς τὰ ἀφροδίσια κεκινημένας ὀνειδίζεσθαι. φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς τὸ τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν,*

ἅδων ταῖς ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων αστει μη βλεμμάτων ῥεπιβουλη.

καὶ διαλιπὼν προςέθηκε

οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.
ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα.

Plutarchus in Amatorio p. 767. B. *καίτοι τήν γε ὥραν ἄνθος ἀρετῆς εἶναι λέγουσι· μὴ φάναι δὲ ἀνθεῖν τὸ θῆλυ μηδὲ ποιεῖν ἔμφασιν εὐφυΐας πρὸς ἀρετὴν ἄτοπόν ἐστι· καὶ γὰρ Αἰσχύλος ὀρθῶς ἐποίησε*

νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.

Idem de indiciis prof. in virtute p. 81. D. *νέας μὲν γὰρ γυναικός, ὡς Αἰσχύλος φησίν, οὐ λανθάνει φλέγων ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.* Hinc codex Par. 2633. in Crameri Anecd. Paris. I. p. 399. *νέας μὲν γὰρ γυναικός, ὡς Αἰσχύλος φησίν, οὔ τι λανθάνει φλέγων ὀφθαλμὸς εἴ τις ἀνδρὸς γεγευμένη.* Etym. M. p. 209, 47. *ἀπὸ δὲ τοῦ ἵππου ἱπποσέλινον, καὶ "θυμὸν ἱππογνώμονα," τὸν μεγαλογνώμονα.* Idem p. 474, 43. *εἴωθε γὰρ ἡ προςθήκη τῶν τοιούτων ζῴων τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν, ὡς "θυμὸν ἱππογνώμονα," τὸν μεγάλης γνώμης, καὶ βούπαις.* In prioribus Aeschyli versibus Salmasius Exerc. Plin. p. 471. latere vidit *ῥέπει βολή.* Videntur fuisse eiusmodi,

ἀδών τις ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων, ἑτοίμη βλεμμάτων ῥέπει βολή.

Si quis placet innuptis virginibus, prompte adnuunt. In altero fragmento *ἔχω δὲ* scribendum vidit Salmasius.

256.

Anecdota Bekkeri p. 351, 4. *ἄθηρος ἡμέρα, σεμνὴ πάνυ ἡ συμπλοκὴ καὶ ἀξίωμα οὐ μικρὸν ἔχουσα. καὶ γὰρ ὁ χρησάμενος τῇ φωνῇ καὶ τῇ φράσει Αἰσχύλος ἐστὶν ἐν Τοξότισι* (codex *τοξότησι*). *πρόςεστι δὲ τὸ σεμνὸν τῆς λέξεως καὶ τὸ πολιτικόν. λέγεται δὲ ἐπὶ Ἀκταίωνος*

οὔπω τις Ἀκταίων' ἄθηρος ἡμέρα
κενόν, πόνου πλουτοῦντ', ἔπεμψεν ἐς δόμους.

ἐγγράφων χρῶ, φησὶν ὁ Φρύνιχος.

257.

Scholiastes Homeri ad Il. IX. 593. ἀμαθύνει· ὅτι ἄμαθον ποιεῖ· οὕτως δὲ λέγει τὴν πεδιάσιμον κόνιν. ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε, περὶ τοῦ Ἀκταίωνος λέγων

κύνες διημάθυνον ἄνδρα δεσπότην.

258.

Pollux V. 47. τὰ μὲν δὴ τῶν Ἀκταίονος κυνῶν ὀνόματα, κατὰ τὴν Αἰσχύλου δόξαν, Κόραξ, Ἅρπυια, Χάρων, Λυκόττας. Lobeckius Paralip. p. 276. Κύραξ, nescio unde. Vnus Bekkeri codicum ἀραία. Tum λυκόττας Bekkeri codices: legebatur Λυκιτᾶς.

259.

Hesychius πεζοφόροις ζώμασιν. Αἰσχύλος Τοξότισιν. ὥςπερ πέζαν ἐχόντων τῶν χιτώνων. τινὲς δὲ ποδήρεσι. ζῶμα δὲ τὸ ἔνδυμα. Photius p. 405, 15. πεζοφοροῦσιν, ἤτοι πέζαν ἐχόντων τῶν χιτώνων, ἢ τοῖς ποδήρεσιν. Pollux VII. 51. τὸ δὲ ζῶμα ἔστι μὲν ἐπιτήδειον ἐνδῦναι, πέζας δὲ ἔχει, ὡς Αἰσχύλος δηλοῖ, πεζοφόρα τὰ ζώματα ἀποκαλῶν.

ΤΡΟΦΟΙ.

Eadem fabula quae Διονύσου τροφοί.

ΥΨΙΠΥΛΗ.

V. fr. 155.

260.

Ὑψώ dicta ab Aeschylo Hypsipyle. V. fr. 225.

261.

Scholiastes Apollonii Rhodii in cod. Paris. ad I. 773. ὅτι δὲ συνεγένοντο ταῖς Λημνίαις οἱ Ἀργοναῦται ἱστορεῖ καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναυτικοῖς. Αἰσχύλος δὲ ἐν τοῖς ὑψίστοις (ἐν Ὑψιπύλῃ scholia prius edita) ἐπελθεῖν φησὶν αὐτὰς τοῖς Ἀργοναύταις χειμαζομένοις, καὶ μὴ ἐᾶν προσχεῖν τῇ νήσῳ, μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν, ἅμα τε ἀποβῆναι αὐτοὺς τῆς νεὼς καὶ συγγενέσθαι αὐταῖς, καὶ οὕτως ἀποβῆναι ἐᾶσαι.

262.

Hesychius ἀποκορσωσαμέναις, ἀποκειραμέναις. κόρσας γὰρ τὰς τρίχας. Αἰσχύλος Ὑψιπύλῃ. Codex ὑψηπούλη, quod Favorinus omisit.

Valckenarius ad Hypsipylen pertinuisse suspicatur fr. 334.

ΦΙΛΟΚΤΗΤΗΣ.

De Aeschyli Philocteta Opusc. III. 113.

263.

Arg. Philoct. Sophoclis κεῖται δὲ καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιΐα. Dio Chrysostomus Or. LII. ἥτε γὰρ τοῦ Αἰσχύλου μεγαλοφροσύνη καὶ τὸ ἀρχαῖον, ἔτι δὲ τὸ αὔθαδες τῆς διανοίας καὶ φράσεως πρέποντα ἐφαίνετο τραγῳδίᾳ καὶ τοῖς παλαιοῖς ἤθεσι τῶν ἡρώων, οὐδὲν *ἔχοντα* ἐπιβεβουλευμένων οὐδὲ στωμύλον οὐδὲ ταπεινόν. ἐπεί τοι καὶ τὸν Ὀδυσσέα

εἰσῆγε δριμὺν καὶ δόλιον, ὡς ἐν τοῖς τότε, πολὺ δὲ ἀπέχοντα τῆς νῦν κακοηθείας, ὥστε τῷ ὄντι ἀρχαῖον ἂν δόξαι παρὰ τοὺς νῦν ἁπλοῦς εἶναι βουλομένους καὶ μεγαλόφρονας, καὶ οὐδέν γε ἀλλαττούσης τῆς Ἀθηνᾶς προςεδεήθη πρὸς τὸ μὴ γνωσθῆναι ὅςτις ἐστὶν ὑπὸ τοῦ Φιλοκτήτου, καθάπερ Ὅμηρος κἀκείνῳ δὴ ἑπόμενος Εὐριπίδης ἐποίησεν· ὥςτε τυχὸν ἄν τις ἐγκαλέσαι τῶν οὐ φιλούντων τὸν ἄνδρα, ὅτι οὐδὲν αὐτῷ ἐμέλησεν ὅπως πιθανὸς ἔσται ὁ Ὀδυσσεὺς οὐκ ἐπιγιγνωσκόμενος ὑπὸ τοῦ Φιλοκτήτου. ἔχοι δ' ἂν ἀπολογίαν, ὡς ἐγῷμαι, πρὸς τὸ τοιοῦτον· ὁ μὲν γὰρ χρόνος τυχὸν οὐκ ἦν τοσοῦτος ὥςτε μὴ ἀνενεγκεῖν τὸν χαρακτῆρα, δέκα ἐτῶν διαγεγονότων· ἡ δὲ νόσος ἡ τοῦ Φιλοκτήτου καὶ κάκωσις καὶ τὸ ἐν ἐρημίᾳ βεβιωκέναι τὸν μεταξὺ χρόνον οὐκ ἀδύνατον τοῦτο ἐποίει. πολλοὶ γὰρ ἤδη, οἳ μὲν ὑπὸ ἀσθενείας, οἳ δὲ ὑπὸ δυςτυχίας, ἔπαθον αὐτό. καὶ μὴν ὁ χορὸς αὐτῷ παραιτήσεως, ὥςπερ ὁ τοῦ Εὐριπίδου, οὐδὲν ἐδεήθη. ἄμφω γὰρ ἐκ τῶν Λημνίων ἐποίησαν τὸν χορόν. ἀλλ' ὁ μὲν Εὐριπίδης εὐθὺς ἀπολογουμένους πεποίηκε περὶ τῆς πρότερον ἀμελείας, ὅτι δὴ τοσούτων ἐτῶν οὔτε προςέλθοιεν πρὸς τὸν Φιλοκτήτην οὔτε βοηθήσειεν οὐδὲν αὐτῷ· ὁ δ' Αἰσχύλος ἁπλῶς εἰςήγαγε τὸν χορόν, ὃ τῷ παντὶ τραγικώτερον καὶ ἁπλούστερον· τὸ δ' ἕτερον πολιτικώτερον καὶ ἀκριβέστερον. καὶ γὰρ εἰ μὲν ἐδύναντο πάσας διαφεύγειν τὰς ἀλογίας ἐν ταῖς τραγῳδίαις, ἴσως ἂν εἶχε λόγον μηδὲ τοῦτο παραπέμψαι· νῦν δὲ πολλάκις ἐν μιᾷ ἡμέρᾳ παραγιγνομένους ποιοῦσι τοὺς κήρυκας πλειόνων ἡμερῶν ὁδόν. ἔπειτα οὐδὲ ἐξ ἅπαντος ἦν μηδὲ προσελθεῖν αὐτῷ μηδένα Λημνίων, μηδὲ ἐπιμεληθῆναι μηδέν. δοκεῖ γάρ μοι, οὐδ' ἂν διεγένετο τὰ δέκα ἔτη μηδεμιᾶς τυγχάνων βοηθείας· ἀλλ' εἰκὸς μὲν τυγχάνειν αὐτόν, σπανίως δὲ καὶ οὐδενὸς μεγάλου, καὶ μηδένα αἱρεῖσθαι οἰκίᾳ ὑποδέξασθαι καὶ νοσηλεύειν, διὰ τὴν δυςχέρειαν τῆς νόσου. αὐτὸς γοῦν ὁ Εὐριπίδης τὸν Ἄκτορα εἰςάγει, ἕνα Λημνίων, ὡς γνώριμον τῷ Φιλοκτήτῃ προςιόντα καὶ πολλάκις συμβεβληκότα. οὐ τοίνυν οὐδὲ ἐκεῖνο δοκεῖ μοι δικαίως ἄν τις αἰτιάσασθαι, τὸ διηγεῖσθαι πρὸς τὸν χορὸν ὡς ἀγνοοῦντα τὰ περὶ τὴν ἀπόλειψιν τὴν τῶν Ἀχαιῶν καὶ τὰ καθόλου συμβαίνοντα αὐτῷ. οἱ γὰρ δυςτυχοῦντες ἄνθρωποι πολλάκις εἰώθασι μεμνῆσθαι τῶν συμφορῶν καὶ τοῖς εἰδόσιν ἀκριβῶς καὶ μηδὲν δεομένοις ἀκούειν ἐνοχλοῦσιν ἀεὶ διηγούμενοι. καὶ μὴν ἡ ἀπάτη ἡ τοῦ Ὀδυσσέως πρὸς τὸν Φιλοκτήτην καὶ οἱ λόγοι, δι' ὧν προςηγάγετο αὐτόν, οὐ μόνον εὐσχημονέστεροι καὶ ἥρωϊ πρέποντες, ἀλλ' οὐκ Εὐρυβάτῳ ἢ Παταικίωνι, ἀλλ', ὡς ἐμοὶ δοκοῦσι, καὶ πιθανώτεροι. τί γὰρ ἔδει ποικίλης τέχνης καὶ ἐπιβουλῆς πρὸς ἄνδρα νοσοῦντα, καὶ ταῦτα τοξότην, ᾧ εἴ τις μόνον ἐγγὺς παρέστη, ἀχρεῖος ἡ ἀλκὴ αὐτοῦ ἐγεγόνει; καὶ τὸ ἀπαγγέλλειν δὲ τὰς τῶν Ἀχαιῶν συμφοράς, καὶ τὸν Ἀγαμέμνονα τεθνηκότα καὶ τὸν Ὀδυσσέα ἐπ' αἰτίᾳ ὡς οἷόν τε αἰσχίστῃ καὶ καθόλου τὸ στράτευμα διεφθαρμένον, οὐ μόνον χρήσιμον ὥστε εὐφρᾶναι τὸν Φιλοκτήτην καὶ προςδέξασθαι μᾶλλον τὴν τοῦ Ὀδυσσέως ὁμιλίαν, ἀλλ' οὐδ' ἀπίθανον τρόπον τινά, διὰ τὸ μῆκος τῆς στρατείας καὶ διὰ τὰ συμβεβηκότα οὐ πάλαι κατὰ τὴν ὀργὴν τοῦ Ἀχιλλέως, ὅθ' Ἕκτωρ παρὰ σμικρὸν ἦλθεν ἐμπρῆσαι τὸν ναύσταθμον.

Haec de Aeschylo, quibus addendum quod paullo post de Euripide dicit, *οὐ μόνον δὲ πεποίηκε τὸν Ὀδυσσέα παραγιγνόμενον, ἀλλὰ μετὰ τοῦ Διομήδους, Ὁμηρικῶς καὶ τοῦτο.*

264.

Athenaeus IX. p. 394. A. *κἂν Φιλοκτήτῃ δὲ* (Aeschylus) *κατὰ γενικὴν κλίσιν φαβῶν εἴρηκεν.*

265.

Scholiastes Homeri ad Od. XIV. 12. *τὸ μελάνδρυον τὴν ἐντεριώνην φασὶν οὕτω καλουμένην· ὁ δὲ Ἀρίσταρχος τὸν φλοιόν· ὁ δὲ Κράτης τὴν τῶν δασυτάτων φυτῶν μελάνδρυόν φησι, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ, "κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου."* Eustathius p. 1748, 57. (528, 6.) *φέρεται δὲ καὶ Αἰσχύλου χρῆσις ἐν Φιλοκτήτῃ, "κρεμάσας τόξον πίτυος ἐκ μελανδρύου."* Vix dubitari potest, quin poeta dederit

κρεμαστὰ τόξα πίτυος ἐκ μελανδρύου.

266.

Aristophanes Ran. 1430.

Σπερχειὲ ποταμὲ βούνομοί τ᾽ ἐπιστροφαί.

Scholiastes *βούνομοι, ὑπὸ βοῶν καταστρεφόμεναι ἤγουν κατανεμόμεναι. ἔστι δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου.*

267.

Aristoteles Poet. c. 22, 13. (c. 37.) *οἷον τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μεταθέντος, ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλόν, τὸ δ᾽ εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε*

φαγέδαιναν, ἥ μου σάρκας ἐσθίει ποδός,

ὃ δὲ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκεν. Legitur apud Aristotelem *φαγέδαινα.*

268.

Plutarchus in libro quo non iucunde vivi secundum Epicurum docet p. 1087. F. *ἐκ δὲ τοῦ πόνου μάρτυς ὁ Αἰσχύλου Φιλοκτήτης ἱκανός. οὐ γὰρ ὁ δράκων, φησίν, ἀνῆκεν, ἀλλ᾽ ἐνῴκισε δεινὴν στομάτων ἔκφυσιν, ποδὸς λαβεῖν.* Valckenarius in Diatr. de fr. Eur. p. 128. recte *ἐνῆκεν* et *λαβών*, caetera autem imperite coniecit. Scribendum

οὐ γὰρ δράκων ἐνῆκεν, ἀλλ᾽ ἐνῴκισεν
δεινὴν στομωτὸν ἔκφυσιν, ποδὸς λαβών.

269.

Suidas et Apostolius VIII. 30.

ἔνθ᾽ οὔτε μίμνειν ἄνεμος οὔτ᾽ ἐκπλεῖν ἐᾷ.

ἐπὶ τῶν δυσχρήστοις παραπεσόντων τοῦτο λέγεται. φησὶ δὲ αὐτὸ παρ᾽ Αἰσχύλῳ ὁ Φιλοκτήτης. V. Plutarchum Moral. p. 476. B. Diogenianum IV. 88. Arsenium p. 230.

270.

Photius p. 326, 9. *ὀκόρνους, τοὺς πάρνοπας. Αἰσχύλος Φιλοκτήτῃ. οἱ δὲ*

Ἴωνες ἀττελέβους. Hesychius non nominato auctore *ὀκόρνους, τοὺς ἀττελέβους. καὶ τὰ ἀκριώδη οὕτω λέγουσιν.*

271.

Maximus Tyrius Diss. XIII. p. 241. ed. Reisk. *ἡ δὲ δειλὴ ψυχὴ κατορωρυγμένη ἐν σώματι, ὡς ἑρπετὸν νωθὲς εἰς φωλεόν, φιλεῖ τὸν φωλεὸν καὶ οὐδεπώποτε θέλει ἀπαλλαγῆναι αὐτοῦ, οὐδὲ ἐξερπύσαι, ἀλλὰ καιομένῳ συγκαίεται, καὶ σπαραττομένῳ συσπαράττεται, καὶ ἀλγοῦντι συναλγεῖ, καὶ βοῶντι συμβοᾷ·*

ὦ πούς, ἀφήσω σε;

ὁ Φιλοκτήτης λέγει· ἄνθρωπε, ἄφες, καὶ μὴ βόα, μηδὲ λοιδοροῦ τοῖς φιλτάτοις, μηδὲ ἐνόχλει τὴν Δημνίων γῆν· "ὦ Θάνατε Παιάν." εἰ μὲν ταῦτα λέγεις ἀλλαττόμενος κακὸν κακοῦ, οὐκ ἀποδέχομαι τῆς εὐχῆς· εἰ δὲ ἡγῇ τῷ ὄντι τὸν θάνατον Παιᾶνα εἶναι καὶ ἀπαλλακτὴν κακοῦ καὶ ἀπλήστου καὶ νοσεροῦ θρέμματος, ἡγῇ καλῶς· εὔχου καὶ κάλει τὸν Παιᾶνα. Stobaeus CXX. 12. *Αἰσχύλου*

ὦ Θάνατε Παιάν, μή μ' ἀτιμάσῃς μολεῖν.
μόνος γὰρ εἶ σὺ τῶν ἀναγκαίων κακῶν
ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.

Vulgo *νεκροῖς*. Grotius *νεκρῶν*, et sic Brunckius ad Soph. Phil. 1471. qui se hos versus ad fidem cod. Paris. exhibere ait. Gaisfordius *νεκροῦ* e duobus codicibus. Idque confirmat Plutarchus in Consol. ad Apoll. p. 109. F. qui quod scribit, *ἄλγος γὰρ ὄντως οὐδὲν ἅπτεται νεκροῦ*, iam Gatakerus in Adv. misc. p. 508. vidit duas ipsius Plutarchi voces continere.

Ad Philoctetam fortasse pertinuit fr. 406.

ΦΙΝΕΥΣ.

Acta est haec fabula Ol. LXXVI. 4. Arg. Persarum *ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ Ποτνιεῖ, Προμηθεῖ.* Non commemoratur in indice fabularum.

272.

Athenaeus X. p. 421. F. *Αἰσχύλος τ' ἐν Φινεῖ*

καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου
ἐρρυσίαζον στόματος ἐν πρώτῃ χαρᾷ.

Libri *ἐρρυσίας οἷον*. Correxit Lobeckius ad Phryn. p. 739.

ΦΟΙΝΙΣΣΑΙ.

Nulla fuit Aeschyli fabula hoc nomine dicta. V. ad fr. 283.

ΦΟΡΚΙΔΕΣ.

273.

Athenaeus IX. p. 402. B. *οὐκ ἀγνοῶ δὲ ὅτι οἱ περὶ τὴν Σικελίαν κατοικοῦντες ἀσχέδωρον καλοῦσι τὸν σύαγρον. Αἰσχύλος γοῦν ἐν Φορκίσι παρεικάζων τὸν Περσέα τῷ ἀγρίῳ τούτῳ συΐ φησιν*

ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς.

Eustathius p. 1872, 4. (705, 47.) *χρῆσις δέ φασιν ἀσχεδώρου παρ' Αἰσχύλῳ, διατρίψαντι ἐν Σικελίᾳ καὶ εἰδότι. φησὶ γάρ "ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς."* Anecdota Bekkeri p. 457, 21. *ἀσχέδωρος, παρ' Αἰσχύλῳ ὁ ἐκ ἰδίας ἀλκῆς ἄσχετα δωρούμενος, οἷον βίαιος. Ἰταλιῶται τὸν σύαγρον ἀσχέδωρον καλοῦσιν.*

274.

Catasterismi Eratostheni tributi cap. 22. *Περσεύς. — δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φορκίσι φησίν, ὁ τῶν τραγῳδιῶν ποιητής. Φορκίδας Γραίας* (ita Galeus: cod. Oxoniensis *φόρκυσιν. . . ἃς,* Vindob. *φόρκύνσιν ἃς*) *εἶχον προφύλακας αἱ Γοργόνες.* Hyginus Poet. astr. II. 12. p. 445. *sed, ut ait Aeschylus tragoediarum scriptor in Phorcisi, Graeae fuerunt Gorgonum custodes.* Hinc videtur in Catasterismis scribi debere: — *ἐξ ἀδάμαντος. ὡς δὲ Αἰσχύλος ἐν Φορκίσι φησίν, ὁ τῶν τραγῳδιῶν ποιητής, Γραίας εἶχον προφύλακας αἱ Γοργόνες,* quamquam Eudocia quoque p. 335. sic exscripsit, *δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φορκίσι φησίν, ὁ τῶν τραγῳδιῶν ποιητής.*

ΦΡΥΓΕΣ Η ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ.

De Aeschyli Myrmidonibus, Nereidibus, Phrygibus Opusc. V. p. 136.

275.

Scholiastes Homeri ad Il. II. 862. *Φρύγες. ἡ διπλῆ, ὅτι οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως. Αἰσχύλος δὲ συνέχεεν.* Similiter Eustathius p. 364, 42.

276.

Athenaeus I. p. 21. E. *Ἀριστοφάνης γοῦν, παρὰ δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις, ποιεῖ αὐτὸν Αἰσχύλον λέγοντα*

τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν·

καὶ πάλιν

τοὺς Φρύγας οἶδα θεωρῶν,
ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα,
πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντας.

277.

Initio fabulae Achilles prae dolore perdiu silens erat. V. fr. 160.

278.

Pollux VIII. 131. *τῷ μέντοι φορτηγῷ ἐπὶ τῶν τὰ φορτία ἀγόντων ἐμπόρων κέχρηται Αἰσχύλος ἐν Φρυξὶν ἢ Λύτροις·*

ἀλλὰ ναυβάτην
φορτηγόν, ὅςτις ῥῶπον ἐξάγει χθονός.

279.

Athenaeus II. p. 51. C. *μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος,*

ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων.

Eustathius ubi qui *πέπονες* dicantur explicat, allatis aliis ex Athenaeo p. 68. D. 49. F. exemplis, p. 211, 16. (160, 5.) scribit *τοιούτου δὲ στοίχου καὶ τὸ πεπαίτερον, ὅπερ ἐστὶν ὡριμώτερον· Αἰσχύλος·* et apponit eundem versum. Pollux VI. 46. *συκάμινα· ταῦτα δὲ καὶ μόρα Αἰσχύλος ὠνόμακεν, τὰ ἄγρια οὕτως ὀνομάσας τὰ ἐκ τῆς βάτου.* Photius p. 275, 19. *μόρον, τὸ συκάμινον. Αἰσχύλος.*

280.

Hesychius

διαπεφρούρηται βίος.

Αἰσχύλος Φρυξίν. οἷον ἡ διὰ τοῦ βίου φρουρὰ συντετέλεσται, ἢ διελήλυθεν ὁ χρόνος. Codex *φθορά.*

281.

Stobaeus CXXV. 7. *Αἰσχύλου Ἕκτορος*

καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν,
εἴτ' οὖν κακουργεῖν, ἀμφιδεξίως ἔχει
τῷ μήτε χαίρειν μήτε λυπεῖσθαι φθιτούς.
ἡμῶν γε μέντοι νέμεσίς ἐσθ' ὑπερτέρα,
καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.

V. 1. *εἰ θέλεις* omittunt codices A. B. — V. 2. *ὃ γοῦν* A. B. Vulgo *τὸ γοῦν.* Quod correxi. — V. 3. *τῷ* Salmasius. Libri *καί.*

282.

Ei sermoni, qui inter Priamum atque Achillem fuit, vindicanda arbitror duo fragmenta apud Stobaeum IV. 15. et 19. Eo in loco scriptorum notationes vehementer perturbatae sunt, sed bona fortuna accidit, ut versum illorum alii ex superstitibus fabulis petiti sint, alii de scriptore ipsi faciant indicium. Legitur autem in margine *Αἰσχύλου* adscriptum non ei cui oportebat versui, pariterque post apud Schowium p. 112. quum praecessisset Euripidis nomen, *τοῦ αὐτοῦ ἐν Φρυξί* adiectum est versui heroico, qui non est Aeschyli. Sed hic tamen titulus opportune monet unum illorum fragmentorum ad Phryges Aeschyli esse referendum; quumque illud, quod paullo ante ex eodem poeta allatum esse certissimum videtur, sententiam contineat eam, cui tuendae alterum inservit, veri simillimum est utrumque ex eodem Priami cum Achille colloquio esse decerptum. Dicit igitur Priamus, praecipitem Achillis ferociam reprehendens,

οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν·
σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ.

Haec enim ut Aeschyli esse persuasum habeam, facit *ποδώκη*, verbum valde probatum Aeschylo: de quo dixi Opusc. vol. III. p. 140. Ad haec quum duobus versibus respondisset Achilles, rursum Priamus

τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν
εἰς πημονὰς καθῆκε πολλὰ δὴ βροτούς.

Trinc. et Mss. aliquot Schowii *εἰς συμφορὰν καθίστησι πολλήν.* Vaus *εἰς*

ἡδονὰς καθῆκε πολλά. Vnde Schowius εἰς συμφορὰν καθῆκε πολλὰ edidit, eoque modo etiam Dobraeus in Addend. Aristoph. p. 136. scribendum censuit. Non contemnenda vero erat codicis illius scriptura ἡδονάς, in qua latet gravius verbum πημονάς. Numerantur hi duo trimetri octavum incertorum fragmentorum Euripidis, ubi Matthiae adnotavit Valckenario eos Sophoclis visos esse.

283.

Pollux VII. 91. ἃ δὲ ποδεῖα Κριτίας καλεῖ, εἴτε πίλους αὐτὰ οἰητέον εἴτε περιειλήματα ποδῶν, ταῦτα πέλλυτρα καλεῖ ἐν Φρυξὶν Αἰσχύλος·

πέλλυτρ᾽ ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις.

Sic edidit Bekkerus, quum ἐν φρυνὶ ei praebuisset codex optimus Parisiensis. Vulgo ἐν Φοινίσσαις, quod omittit codex Palatinus. Idem Pollux II. 196. καὶ ποδεῖα τοὺς περὶ τοῖς ποσὶ πίλους Κριτίας, ἅπερ Αἰσχύλος πέλλυτρα καλεῖ.

284.

Scholiastes Euripidis ad Androm. 1. Θηβαία πόλις. τὴν ἐν Ἀσίᾳ λέγει τὴν Ὑποπλάκιον Θήβην, ἧς Ἠετίων ἐβασίλευσεν. Δικαίαρχός φησιν ἐνθάδε ἀπόσπασμά τι μετὰ τοῦ Κάδμου οἰκῆσαι. ἔνιοι δὲ καὶ τὴν Χρύσην καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν, ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτήν, λέγων

Ἀνδραίμονος γένεθλον ὦ Λυρνησσίου,
ὅθεν περ Ἕκτωρ σ᾽ ἄλοχον ἤγαγεν φίλην.

V. 1. ὦ et v. 2. σέ addidi: codices enim Cobeti ὅθενπερ Ἕκτωρ ἄλοχον, reliqui ὅθεν παρ᾽ Ἕκτορος ἄλοχον. Refertur ὅθεν ad Λυρνησσόν, quod latet in Λυρνησσίου.

285.

Scholiastes Venetus ad Il. XXII. 351. (ad illud οὐδ᾽ εἴ κέν σ᾽ αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι Δαρδανίδης Πρίαμος) ἡ διπλῆ, ὅτι ὑπερβολικῶς λέγει. ὁ δὲ Αἰσχύλος ἐπ᾽ ἀληθείας ἀνθιστάμενον χρυσὸν πεποίηκε πρὸς τὸ Ἕκτορος σῶμα ἐν Φρυξίν. Schol. Townl. et Vict. ὁ μέντοι Αἰσχύλος Ἕκτορος λύτροις ἀληθὲς αὐτὸ ἐξεδέξατο. Huc pertinet, quod Hesychius habet, ἄροτον, τὸν ὁλκὸν τοῦ Ἕκτορος, ἢ τὸ ἀντίσταθμον. Αἰσχύλος Φρυξί. Sic etiam Favorinus. Schowius, ex codice an per errorem, ἀροτόν. Verior prior interpretatio: neque enim fieri potuit, ut pondus per se diceretur ἄροτος.

286.

Hesychius ἀγαστά, ἃ ἄν τις ἀγάσαιτο, οἷον ἀρεστά. Αἰσχύλος Φρυξίν. Codex φρα῀. Dubitavit Albertius, an, quod litterarum ordo suadeat, ἀγατά scripserit Hesychius.

287.

Hesychius ἀδίοπον, ἄναρχον καὶ ἀφύλακτον. Αἰσχύλος Φρυξί. δίοποι γὰρ οἱ τῆς νεὼς φύλακες. Eadem in Bekkeri Anecd. p. 344, 8. non nominato auctore. Favorinus Αἰσχύλος παρὰ Φρυξίν, ἀπὸ τοῦ διέπω. δίοποι

γὰρ ἐλέγοντο οἱ τῆς νεὼς φύλακες. Eustathius p. 203, 11. (154, 5.) ἐκ δὲ τούτου οὐ μόνον δίοποι οἱ ἄρχοντες, ὡς καὶ Αἰσχύλος δηλοῖ (v. ad fr. 244.), ἀλλὰ καὶ ἀδίοποι οἱ μὴ ἀρχόμενοι. ἀδίοπος γάρ φασιν ὁ ἄναρχος καὶ ἀφύλακτος, ἐπεὶ δίοποι οἱ βασιλεῖς καὶ οἱ διέποντες.

288.

Hesychius et Favorinus ἐπιστροφαί, διατριβαί, δίαιται. Αἰσχύλος Φρυξί. Huc retulit Bergkius in Mus. philol. VI. (a. 1848.) p. 147. versum ab Eustathio p. 1484, 50. commemoratum

Κίλιξ δὲ χώρα καὶ Σύρων ἐπιστροφαί.

Legitur ibi Σηρῶν. Aristides I. p. 239, 13. ed. Iebb. οὕτω λαμπρα τε κα κοινὰ πᾶσι τὰ ὄντα κέκτηται, καὶ οὔτε Ἰταλία τῶν ταύτης κτημάτων ὑπερορᾷ οὔτε Αἴγυπτος οὕτω πόρρω οὔτε Τυρρηνικὸν πέλαγος οὔτε Σύρων καὶ Κιλίκων, ποιητὴς ἂν εἴποι, ἐπιστροφαί. Legitur ibi ἐνστροφαί, quod Bergkius emendavit.

289.

Hesychius τιτῆναι, βασιλίδες. ἢ Ἕκτορος λύτροις. Favorinus τιτηναις, βασιλίσιν, ἢ Ἕκτορος λύτροις. Codex Hesychii βασι^λδ', editiones βασιλίδι, Sopingius addit Αἰσχύλος ἐν Φρυξίν. Eadem vox mendose alio loco apud Hesychium scripta, τιήνη, ἡ βασίλισσα, quod et ipsum recepit Favorinus. Ab honore repetitam esse hanc appellationem docet aliud apud Hesychium vocabulum, τίταξ, ἔντιμος, ἢ δυνάστης· οἱ δὲ βασιλεύς.

Ad Phryges fortasse pertinuit fr. 455.

ΦΡΥΓΙΟΙ.

In indice fabularum.

ΨΥΧΑΓΩΓΟΙ.

Anecdota Bekkeri p. 73, 10. ψυχαγωγός. οἱ μὲν Ἀλεξανδρεῖς τὸν τῶν παίδων ἀνδραποδιστὴν οὕτω καλοῦσιν, οἱ δ' ἀρχαῖοι τοὺς τὰς ψυχὰς τῶν τεθνηκότων γοητείαις τισὶν ἄγοντας. τῆς αὐτῆς ἐννοίας καὶ τοῦ Αἰσχύλου τὸ δρᾶμα Ψυχαγωγός.

290.

Scholiastes Homeri ad Od. XI. 145. οἱ νεώτεροι τὰ περὶ Τηλέγονον ἀνέπλασαν, τὸν Κίρκης καὶ Ὀδυσσέως, ὃς δοκεῖ κατὰ ζήτησιν τοῦ πατρὸς εἰς Ἰθάκην ἐλθὼν ὑπ' ἀγνοίας τὸν πατέρα διαχρήσασθαι τρυγόνος κέντρῳ. Αἰσχύλος δὲ ἐν Ψυχαγωγοῖς ἰδίως λέγει

ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος
ὄνθῳ σε πλήξει, νηδύος χειλώμασιν.
ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος
σήψει παλαιὸν δέρμα καὶ τριχορρυές.

V. 2. scriptum erat ὃν θ' ὡς ἔπληξεν ἡ δ' υἱὸς χειλώμασιν. Emendavit Valckenarius Diatr. p. 286.

291.

Aristophanes Ran. 1297.

Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.

Schol. *Ἑρμᾶν μὲν πρόγονον· ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν.* Aliud scholion in cod. Cantabr. I. *τοῦτο ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν. τὸ δὲ Ἑρμᾶν μὲν τίομεν λέγουσιν οἱ Ἀρκάδες διὰ ταῦτα· ἐν τῇ Κυλλήνῃ, ἥ ἐστιν ὅρος Ἀρκαδίας, ἐτιμᾶτο ὁ Ἑρμῆς. διὰ γοῦν τὴν ἐξ ἀμνημονεύτων χρόνων τιμήν, ὡς πρόγονος τούτοις ἐδόκει. ᾄδουσι δὲ καί τινα ἱστορίαν μυθώδη. λίμναν δὲ λέγει τὴν Στυμφαλίδα, ἐν Ἀρκαδίᾳ γὰρ καὶ αὕτη.* Conf. Fritzschium ad Ranas p. 380. seq.

292.

Pollux X. 10. *αὐτὸ μὲν γὰρ τοὔνομα τῆς σκευοθήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου Ψυχαγωγοῖς·*

καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων.

293.

Hesychius *δρώπτειν, διακόπτειν, ἢ διασκοπεῖν. Αἰσχύλος Ψυχαγωγοῖς.*

294.

Photius p. 534, 1. et Suidas *σταθερόν. — τινὲς καὶ ἐπὶ τοῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς*

σταθέρου χεύματος.

Apud Suidam plerique libri *χρήματος.*

295.

Scholiastes Apollonii Rhodii ad III. 846. *ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ συγκατατίθεται καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαῖραν.*

ΨΥΧΟΣΤΑΣΙΑ.

De Aeschyli Psychostasia Opusc. VII. p. 343.

296.

Pollux IV. 130. *ἀπὸ δὲ τοῦ θεολογείου, ὄντος ὑπὲρ τὴν σκηνήν, ἐν ὕψει ἐπιφαίνονται θεοί, ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν ἐν Ψυχοστασίᾳ.* Plutarchus de audiendis poetis p. 16. F. exemplum eorum, quae ab ipsis sint poetis conficta, allaturus ita scribit, *οἷον ἐπὶ τοῦ Διὸς εἰρηκότος Ὁμήρου "ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο. ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ· ᾤχετο δ' εἰς Ἀΐδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων," τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν, ἐπιγράψας Ψυχοστασίαν, καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν τὴν Θέτιν, ἔνθεν δὲ τὴν Ἠώ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων. τοῦτο δὲ παντὶ δῆλον ὅτι μυθοποίημα καὶ πλάσμα πρὸς ἡδονὴν ἢ ἔκπληξιν ἀκροατοῦ γέγονε.* Scholiastes Venetus ad Il. VIII. 70. *ὅτι τὰς θανατηφόρους μοίρας λέγει. ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχάς, ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἐστὶν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν.* Ibidem Porphyrius *πρὸς Αἰσχύλον Ψυχοστασίαν γράψαντα.* Eustathius ad eundem locum p. 699, 30. *φασὶ δὲ οἱ παλαιοὶ ὅτι Αἰσχύλος ἐνταῦθα κῆρας οὐ τὰς εἰς θάνατον μοίρας, ἀλλὰ ψυχὰς νοήσας, ἐποίησεν αὐτὸς*

Ψυχοστασίαν, ἐν ᾗ ὁ Ζεὺς ἵστησιν ἐν ζυγῷ τὴν τοῦ Μέμνονος καὶ τοῦ Ἀχιλλέως ψυχήν. Scholiastes ad XXII. 210. *κῆρας τὰς μοίρας λέγει, οὐ τὰς ψυχάς, ὡς ἐδέξατο φαύλως Αἰσχύλος.* Et Eustathius p. 1266, 37. *φασὶ δὲ οἱ παλαιοὶ ἐκ τούτου τοῦ χωρίου πεπλάσθαι, ὡς καὶ αὐτὸ προεδηλώθη, τὴν Ψυχοστασίαν τῷ Αἰσχύλῳ, κῆρε νοήσαντι τὰς ψυχάς, ὡς καθόλου τοῦ Διὸς ψυχὰς ἱστῶντος.*

297.

Pollux IV. 130. *ἡ δὲ γέρανος μηχάνημά ἐστιν ἐκ μετεώρου καταφερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται Ἠὼς ἁρπάζουσα τὸ σῶμα τοῦ Μέμνονος.*

298.

Hesychius *ἀνηκίδωτοι, ἄνευ ἀκίδος. Αἰσχύλος Ψυχοστασίᾳ.* Mendose scriptum *ἀνηκίδοτοι* et in impressis libris atque apud Favorinum *ψυχοστασίαις.* Grammaticus Bekkeri p. 402, 25. *ἀνηκίδωτοι, ἄνευ ἀκίδος.*

299.

Hesychius *αὐριβάτας. Αἰσχύλος τὸ αὔριον ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ* (edd. et Fav. *ψυχοστασίαις*) *οὕτως φησὶ τὸ ὄνομα ταχυβήλων.* Interpungendum esse post *ὄνομα*, et scribendum *ταχυβήμων*, quo explicetur *αὐριβάτας*, iam alii viderunt. Neque infeliciter Pauwium *τὸ αὔριον* mutari in *τὸ αὐρὶ* voluisse, quod Toupius *τὸ αὐρί* scribi volebat, ex Anecdotis Bekkeri p. 464, 9. apparet, *αὐρίβατον, τὸ αὖρι τιθέασιν ἐπὶ τοῦ ταχέως καὶ τάχα, οὐκ ἀπὸ τῆς αὔρας, ἀλλὰ κατά τινα βαρβαρικὴν λέξιν. τάχα δὲ καὶ ἀπὸ τοῦ αὔριον.*

300.

Strabo XV. p. 728. *λέγονται δὲ καὶ Κίσσιοι οἱ Σούσιοι· φησὶ δὲ καὶ Αἰσχύλος τὴν μητέρα Μέμνονος Κισσίαν.* Videtur hoc fecisse aut in Psychostasia aut in Memnone.

301.

Eustathius p. 1484, 47. (152, 7.) *ἰστέον δὲ καὶ ὅτι τὸ θηλυκὸν τοῦ Αἰθίοψ ἰδιωτικῶς μὲν Αἰθιόπισσα, ἄλλως δὲ περιφραστικῶς ἡ ἐξ Αἰθιόπων. λέγεται δὲ καὶ ὁμοφώνως τῷ ἀρσενικῷ κατὰ τοὺς παλαιούς· "Αἰθίοπα" γοῦν φασι "φωνὴν" Αἰσχύλος λέγει καὶ*

πότερα γυνή τις Αἰθίοψ φανήσεται.

Potest hoc dictum fuisse in Psychostasia aut in Memnone.

302.

Aristophanes Ran. 961.

ἀλλ' οὐκ ἐκομπολάκουν
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ' ἐξέπληττον αὐτοὺς
Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.

Pertinent haec ad Psychostasiam aut ad Memnonem.

Ad Psychostasiam aut ad Memnonem pertinuisse videtur *γρυπαίετος* fr. 457

ΩΡΕΙΘΥΙΑ.

Non commemoratur in indice fabularum.

303.

Longinus *περὶ ὕψους* sect. III. §. 1. . . . .

καὶ καμίνου σχῶσι μάκιστον σέλας.
εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον,
μίαν παρείρας πλεκτάνην χειμάρροον
στέγην πυρώσω καὶ κατανθρακώσομαι.
νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος.

οὐ τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν καὶ τὰ ἄλλα ἑξῆς. τεθόλωται γὰρ τῇ φράσει καὶ τεθορύβηται ταῖς φαντασίαις μᾶλλον ἢ δεδείνωται, κἂν ἕκαστον αὐτῶν πρὸς αὐγὰς ἀνασκοπῇς, ἐκ τοῦ φοβεροῦ κατ' ὀλίγον ὑπονοστεῖ πρὸς τὸ εὐκαταφρόνητον. — V. 1. Ruhnkenius male probat Musgravii coniecturam *εἰ καί.* Tollius *καὶ μή,* quod Toupius probat. — V. 2. Musgravio *μόνον* in *ψόλον* mutandum esse videbatur. Toupius legit *εἰ γὰρ τὸν ἑστιοῦχον ὄψομαι μόνον.* Dobraeus Adv. II. p. 31. scribendum coniicit *εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι δόμων, si quam domi conspexero.* — V. 3. Ruhnkenius *βίᾳ παρείρας.* — Ex Aeschyli Orithyia haec sumpta esse docet Ioannis Siceliotae scholion ad Hermogenem apud Ruhnkenium et in Walzii Rhet. Graecis vol. VI. p. 225. *φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ* (Aeschyli Agamemnonem commemoraverat) *μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν· οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβικά, ἐπιλαθόμενος· διὸ καὶ Σοφοκλῆς μιμεῖται· λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέστερον ἐν τῷ κά τῶν φιλολόγων.*

. . . . . . *ΣΑΤΥΡΙΚΟΣ.*

304.

Hesychius *ἀποφύλιοι, ξένοι, οἱ μὴ ἔχοντες φυλήν. Αἰσχύλος σατυρικῷ.* Ita codex. Favorinus omittit *σατυρικῷ.* Anecdota Bekkeri p. 439, 12. *ἀποφώλιοι ξένιοι, οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος. ἀποφώλιον, ὀλίγου ἄξιον, ἀπαίδευτον, μάταιον. οἱ δὲ ἄγριον, ἢ ἀδόκιμον, ἢ θηριώδη, ἀπὸ τῶν φωλεῶν. ἔνιοι δὲ φωλεόν φασι τὸ λαμπρὸν δεῖπνον.* Suidas *ἀποφώλιοι, ξένοι, οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος· ἢ ἀπαίδευτοι. φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες.*

EX INCERTIS FABVLIS.

305.

Scriptor dissertationis de Nilo, quae nunc adiecta est libro secundo Athenaei (p. 163. seqq. ed. Dind.). Primus eam edidit H. Stephanus anno MDLVII. inter Aristotelis et Theophrasti scripta quaedam p. 144. seqq. Postea adiunxit Wesselingius Herodoto p. 788. seqq. *καὶ Αἰσχύλος*

γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι
Αἰθιοπίδος γῆς, ἔνθα Νεῖλος ἑπτάρους
γάνος κυλίνδει πνευμάτων ἐπομβρίᾳ,

ἓν δ' ἥλιος πυρωπὸς ἐκλάμψας χθονὶ
τήκει πετραίαν χιόνα· πᾶσα δ' εὐθαλὴς
Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη
φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

V. 1. καὶ μαθὼν apud Stephanum, unde Schweighaeuserus ἐκμαθὼν restituit. C (i. e. epitomes Athenaei codex Paris.) ἐκλαθών. — V. 2. ἔνθα Νεῖλος ἐπάρρους Steph. ἐντάδε Νεῖλος ἐπτάρρους C. — V. 3. γαῖαν κυλίνδει C, γαῖαν κυλίνδων Steph. Quod correxi. Non recte ab Is. Vossio ad Melam I. 9, 27. πνευμάτων in ῥευμάτων mutatum esse Aristides docet T. II. p. 339. ed. Iebb. ἀπεβλέψαμεν οὖν εἰς τὰ νέφη, καί τις ἔφη τῶν παρόντων, ταῦτα δὴ τὰ Νείλου πνεύματα· οὕτω γάρ πως ὠνόμασε. — V. 4. ἐν ᾗ πυρωπὸς ἥλιος ἐκλάμψας χθονὶ C, ἐν ᾗ πυρωτὸν μηνὸς ἐκλάμψαν φλόγα Steph. Quae correxi. — V. 5. πετραίην Steph. apud quem hic versus post sextum positus est. — V. 7. ἀγγέλλει Steph. — Respicere videntur ad hunc locum Aeschyli Aristides T. II. p. 335, 7. ed. Iebb. καὶ ὡς ἔοικεν, Αἰγυπτίων μὲν οἱ μὴ ἀποδημήσαντες οὐδὲ εἶδον χιόνα, ἀλλ' οὐδ' ἑτέρου λέγοντος δύνανται μαθεῖν — οἱ δ' ἐπὶ τῇ τῆς μεσημβρίας ἀρχῇ χιόνος πλέον ἢ θέρμης ἔχουσι; καὶ τί γένοιτ' ἂν τούτου τραγικώτερον ψεῦσμα, ἄν τ' Εὐριπίδης, ἄν τ' Αἰσχύλος αὐτὸ συνθῇ; Idem p. 336, 4. εἶθ' ὃ μηδ' ἐπείςακτον αὐτοῖς ἐστι θέρους νόμῳ, τοῦτ' ἄγειν τὸν Νεῖλον θέρους ὥρᾳ τοσοῦτον πλήθει; πάντων γε ἥκιστά μοι δοκεῖν. καὶ πρὸς μὲν Εὐριπίδην τε καὶ Αἰσχύλον καὶ ταῦτα ἴσως οὐχ ἱκανά, ἀλλὰ πέρα τῶν ἱκανῶν, οὕτως γε σαφοῦς καὶ πρὸ ποδῶν ὄντος τοῦ ἐλέγχου, καὶ δεικνύντος ὅλως τὸ ἀδύνατον, ὥςπερ ἐν τοῖς ἄνω τῆς ἐκροῆς. Idem p. 345, 9. καὶ τί δεῖ παλιρροίας καὶ δίνας λέγειν, ἀμελήσαντι ὅτι οὔτ' αὐτόθεν ὁ Νεῖλος ὁρμᾶται, ἀλλὰ πολὺ πλείων ὁ ἄνω τόπος αὐτόθεν ἤπερ ὁ πρὸς θάλατταν, οὔθ' ὑπὲρ τοὺς καταρράκτας δυνατὸν τὸ ὕδωρ ὑπερβαλεῖν, εἰ μὴ κατ' Αἰσχύλον ὡς ἀληθῶς ἐξ αἰθέρος τις αὐτὸ "καταπάλτον" θείη. Schol. Paris. Apollonii Rhodii ad IV. 269. καὶ Σοφοκλῆς δὲ καὶ Αἰσχύλος οὕτως ὑπέλαβον τοῦ (τοὺς schol. ed.) κατ' Αἴγυπτον χιονίζεσθαι τόπον (τόπους schol. ed.), τηκομένης δὲ τῆς χιόνος (τὴν χύσιν addunt schol. ed.) εἰς τὸν Νεῖλον ἐκδίδοσθαι. Videntur autem hi versus in Memnone scripti fuisse. V. Opusc. VII. p. 347. seqq.

306.

Aristoteles Hist. an. IX. 49. (36. ed. Schneid.) p. 633. A. ed. Bekk. μεταβάλλει δὲ καὶ ὁ ἔποψ τὸ χρῶμα καὶ τὴν ἰδέαν, ὥςπερ πεποίηκεν Αἰσχύλος ἐν τοῖςδε·

τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν
πεποικίλωκε, κἀποδηλώσας ἔχει
θρασὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ·
ὃς ἦρι μὲν φαίνοντι διαπάλλει πτερὸν
κίρκου λεπάργου. δύο γὰρ οὖν μορφὰς φανεῖ,

παιδός τε χαὐτοῦ νηδύος μιᾶς ἄπο.
νέας δ' ὀπώρας ἡνίκ' ἂν ξανθῇ στάχυς,
στικτή νιν αὖθις ἀμφινωμήσει πτέρυξ.
ἀεὶ δὲ μίσει τῶνδ' ἀπ' ἄλλον εἰς τόπον
δρυμοὺς ἐρήμους καὶ πάγους ἀποικίσει.

V. 9. ubi libri quidam ἀπάλλου vel ἀσπάλλον vel ἀπαλῶν habent, Ios. Scaliger scribendum coniecit ἀεὶ δὲ μίσει τοῦδε Παλλήνης τόπου, quod probans Schneiderus in postremo versu ἐποικίσει scribi voluit.

307.

Athenaeus VII. p. 303. B. μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος, λέγων

σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρους
ὅς ἀστενακτί, θύννος ὥς, ἠνείχετο
ἄναυδος·

καὶ ἀλλαχοῦ

τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην,

ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος, ὡς Ἀριστοτέλης λέγει. — V. 1. κἀπιχαλκεύει λέγων μύδρους codices, κἀπιχαλκεύειν λέγω μύδρους ed. Aldina. Emendavit Iacobsius. — V. 2. codices ηὔχετο. Quod correxi. Similiter Iacobsius ἠνέσχετο. — V. 3. ἄναυδος ed. Aldina. Codices ἂν λυδὸς vel ἂυ λυδος. — In altero fragmento codices non τὸ σκαιόν, sed οὗτος καί, praeter epitomen, quae omittit. Tum ὄμμα epitome. Codices ὄνομα. — Eustathius p. 994, 51. (989, 47.) ex epitome Athenaei, λέγεται δέ φησι καὶ ὡς θύννος τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέπει. διὸ καὶ Αἰσχύλος φησίν "ὄμμα παραβαλὼν θύννου δίκην." Plutarchus de sollertia anim. p. 979. E. ἄκουσον ἤδη τὴν ἀριθμητικὴν ἐπιστήμην αὐτῶν· πρότερον δὲ ναὶ μὰ Δία τὴν ὀπτικήν, ἣν ἔοικε μηδ' Αἰσχύλος ἀγνοῆσαι· λέγει γάρ που "τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην." τῷ γὰρ ἑτέρῳ δοκοῦσιν ἀμβλυώττειν· ὅθεν ἐμβάλλουσιν εἰς τὸν Πόντον ἐν δεξιᾷ, τῆς γῆς ἐχόμενοι, καὶ τοὐναντίον, ὅταν ἐξίωσιν, ἐμφρόνως πάνυ καὶ νουνεχῶς ἀεὶ τὴν τοῦ σώματος φυλακὴν ἐπὶ τῷ κρείττονι ποιούμενοι τῶν ὀφθαλμῶν. Aelianus Hist. an. IX. 42. ὅτι δὲ τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσιν, τῷ δὲ ἄλλῳ οὐκέτι, καὶ Αἰσχύλος ὁμολογεῖ, λέγων "τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην." παρίασί τε εἰς τὸν Πόντον, καὶ κατὰ τὴν δεξιὰν ἑαυτῶν πλευρὰν τὴν γῆν λαμβάνουσι, καθ' ἣν καὶ βλέπουσιν· ἐξιόντες τε αὖ κατὰ τὴν ἀντίπερα νέουσι τῆς γῆς ἐχόμενοι, τὴν φρουρὰν τὴν τοῦ σώματος κατὰ τὸν ὁρῶντα τῶν ὀφθαλμῶν λαμβάνοντες προμηθέστατα. Habent hunc Aeschyli versum etiam schol. Oppiani ad Hal. IV. 504. et 525. et Apostolius X. 38.

308.

Athenaeus IX. p. 375. C. Αἰσχύλος δέ φησιν

ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον
τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω. τί γὰρ

ὄψον γένοιτ᾽ ἂν ἀνδρὶ τοῦδε βέλτερον;

καὶ πάλιν

λευκός· τί δ᾽ οὐχί; καὶ καλῶς ἠφευμένος
ὁ χοῖρος. ἕψου, μηδὲ λυπηθῇς πυρί.

καὶ ἔτι

θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑός,
ἣ πολλά μ᾽ ἐν δόμοισιν εἴργασται κακά,
δονοῦσα καὶ τρέπουσα τύρβ᾽ ἄνω κάτω.

ταῦτα δὲ παρέθετο Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. — V. 2. *ἐν ῥοθοῦντι* Dindorfius. Libri *ἐν νοθοῦντι* vel *ἐννοτοῦντι*. Epitome *νοθοῦντι* omittit. — V. 3. *βέλτερον* Erfurdtius et alii. Libri *βέλτιον*. — V. 7. *ἣ πολλά μ᾽* emendavit Porsonus ad Toupii Emend. vol. IV. p. 477. Legebatur *ἣ πολλά γ᾽*.

309.

Athenaeus XI. p. 491. A. *καὶ Αἰσχύλος δέ, ἐκφανέστερον προσπαίζων τῷ ὀνόματι κατὰ τὴν ὁμοφωνίαν,*

αἱ δ᾽ ἑπτ᾽ Ἄτλαντος παῖδες ὠνομασμέναι
πατρὸς μέγιστον ἆθλον οὐρανοστεγῆ
κλαίεσκον, ἔνθα νυκτέρων φαντασμάτων
ἔχουσι μορφὰς ἄπτεροι Πελειάδες.

ἀπτέρους γὰρ αὐτὰς εἴρηκε διὰ τὴν πρὸς τὰς ὄρνεις ὁμωνυμίαν. V. 2. libri *οὐρανός τε γῆ*. Emendavit De la Porte du Theil. Respicit hos versus scholiastes Homeri ad Il. XVIII. 486. *τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς καταστερισθῆναί φησιν Αἰσχύλος.* Sumpti sunt fortasse ex Heliadibus. V. Opusc. III. p. 141.

310.

Athenaeus XII. p. 528. C. *τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας·*

χλιδῶν τε πλόκαμος ὥςτε παρθένοις ἁβραῖς·
ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν.

Epitome *λοιπὸν* pro *λαόν*, et antea *παρθένου ἁβρᾶς*, quod vitium repetit Eustathius p. 1292, 53. (1403, 5.) *Κουρῆτες δέ, περὶ ὧν εἰς πλάτος προγέγραπται, χλιδῶντα πλόκαμον τρέφοντες, ὥςτε παρθένου ἁβρᾶς Κουρῆτας ἐκλήθησαν κουρᾶς ἕνεκεν.*

311.

Athenaeus XIV. p. 632. C. *καὶ διὰ τοῦτο τῶν μὲν θεῶν Ἀπόλλωνα, τῶν δὲ ἡμιθέων Ὀρφέα μουσικώτατον καὶ σοφώτατον ἔκρινον, καὶ πάντας τοὺς χρωμένους τῇ τέχνῃ ταύτῃ σοφιστὰς ἀπεκάλουν, ὥςπερ καὶ Αἰσχύλος ἐποίησεν,*

εἶτ᾽ οὖν σοφιστὴς κάρτα παραπαίων χέλυν.

Libri *καλὰ παραπαίων*, quod emendavi, eodemque modo Butlerus.

312.

Plutarchus in vita Demetrii c. 35. *διὸ καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον*

σύ τοί με φυσᾷς, σύ με καταναvεῖν δοκεῖς.

Idem de monarchia democr. et olig. p. 827. C. *τὸ Αἰσχύλειον ἀναφωνεῖν, ᾧ πρὸς τὴν τύχην ἐχρῆτο Δημήτριος ὁ πολιορκητής, ἀποβαλὼν τὴν ἡγεμονίαν, "σύ — δοκεῖς."* Codices utrobique *σύ με καταίθειν δοκεῖς* vel *σύ μοι καταίθειν δοκεῖς*, unus in vita Demetrii *σύ με καταίθειν μοι δοκεῖς*. Scripsi *σύ με καταναvεῖν δοκεῖς*. Propius etiam ad litteras accederet *καταυονεῖν*, ut *αὐονά* dictum est ab Aeschylo Eum. 331. 344.

313.

Plutarchus de aud. poet. p. 36. B. *ἐπιρρητέον δὲ καὶ τῷ Αἰσχύλου*

θάρσει· πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνος,

ὅτι τοῦτό ἐστι τὸ παρ' Ἐπικούρῳ θρυλούμενον ἀεὶ καὶ θαυμαζόμενον, ὡς οἱ μεγάλοι πόνοι συντόμως ἐξάγουσιν, οἱ δὲ χρόνιοι μέγεθος οὐκ ἔχουσιν. ὧν τὸ μὲν εἴρηκεν ὁ Αἰσχύλος ἐναργῶς, τὸ δὲ τῷ εἰρημένῳ παρακείμενόν ἐστιν.

314.

Plutarchus in Consol. ad Apoll. p. 106. C. *ὁ δ' Αἰσχύλος καλῶς ἔοικεν ἐπιπλήττειν τοῖς νομίζουσι τὸν θάνατον εἶναι κακόν, λέγων ὧδε,*

ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί,
ὅςπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.

Legebatur *μέγιστον ἴαμα*, quod in *μέγ' ἐστ' ἴαμα* Grotius cum Scaligero mutavit: v. Pors. praef. ad Eur. Hec. p. IX. Sed meliores codices praebent *μέγιστον ῥῦμα*.

315.

Plutarchus in Consol. ad Apoll. p. 116. F. *καὶ ὁ τραγικὸς Αἰσχύλος*

ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν
ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.

Codices Plutarchi *ἐγαρέτων*, de quo vocabulo v. Lob. ad Phryn. p. 328. seq. *Ἐνδίκων* videtur a Stobaeo sumptum esse, apud quem haec leguntur CVIII. 43. *Εὐριπίδου·*

ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν,
κἀν τοῖς δεινοῖσι μὴ τεθυμῶσθαι θεοῖς.

Grotius *κἀν τοῖσι δείνοις*. V. Valck. Diatr. p. 230. seq.

316.

Plutarchus de Iside et Osiride p. 358. E. *ὅτι μὲν οὖν, εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ ἀφθάρτου φύσεως, καθ' ἣν μάλιστα νοεῖται τὸ θεῖον, ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα δοξάζουσι καὶ λέγουσιν,*

ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα,

κατ' Αἰσχύλον, οὐδὲν δεῖ λέγειν πρός σε. Legitur *τὸ στόμα*. Etym. M. p. 118, 23. *ἀπάργματα λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα. ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. ἦν γάρ*

τι νόμιμον τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον διὰ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. — ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον Αἰσχύλος μαρτυρεῖ καὶ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά (IV. 477. sqq.).

317.

Plutarchus de EI Delphico p. 389. A.

μιξοβόαν γάρ, Αἰσχύλος φησί, πρέπει
διθύραμβον ὁμαρτεῖν
σύγκοινον Διονύσῳ.

Eleganter Porsonus ad Toupii Emend. Suidae vol. IV. p. 490. σύγκωμον scribendum coniecit. Sed v. Opusc. V. p. 25. ubi hi versus ad Neaniscos relati sunt.

318.

Plutarchus de defectu oraculorum p. 434. A. καὶ μετάλλων ἴσμεν ἐξαμαυρώσεις γεγονέναι καινάς, ὡς τῶν περὶ τὴν Ἀττικὴν ἀργυρείων καὶ τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος, ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν, ὡς Αἰσχύλος εἴρηκε,

λαβὼν γὰρ αὐτόθακτον Εὐβοικὸν ξίφος.

Xylander αὐτόθηκτον. Suspicor αὐόθηκτον.

319.

Plutarchus de cohib. ira p. 454. E. καθάπερ οὖν τὴν φλόγα θριξὶ λαγῴαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ ῥᾴδιόν ἐστιν ἐπισχεῖν, ἐὰν δ' ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων, ταχὺ διέφθειρε καὶ συνεῖλεν,

ὑψηλὸν ἡβήσασα τεκτόνων πόνον,

ὥς φησιν Αἰσχύλος, οὕτως ὁ τῷ θυμῷ προσέχων. Libri ἡ βάσασα, quod Heathius emendavit.

320.

Plutarchus Sympos. quaest. I. 8, 1. p. 625. D. οἱ γὰρ πρεσβύτεροι πόρρω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀναγινώσκουσιν, ἐγγύθεν δ' οὐ δύνανται. καὶ τοῦτο παραδηλῶν ὁ Αἰσχύλος φησίν "οὐδὲ ἀπο αὐτὸν οὐ γὰρ ἐγγύθεν γέρων δὲ γραμματεὺς γενοῦ σαφής." Fortasse scribendum est

ἰδοῦ δ' ἀποσταδόν·
οὐ γὰρ ἐγγύθεν· γέρων δὲ γραμματεὺς γενοῦ σαφής.

321.

Plutarchus de primo frigore p. 950. E. τὸ γὰρ ὕδωρ ὁ μὲν Αἰσχύλος εἰ καὶ τραγικῶς, ἀλλ' ἀληθῶς εἶπε·

παῦ' ὕδωρ, δίκην πυρός.

322.

Plutarchus in libro quod stoici παραδοξότερα poetis dicant p. 1057. F. ὁ δὲ στωϊκῶν σοφὸς χθὲς μὲν ἦν ἔχθιστος ἅμα καὶ κάκιστος, τήμερον δὲ ἄφνω μεταβέβληκεν εἰς ἀρετὴν καὶ γέγονεν ἐκ ῥυσοῦ καὶ ὠχροῦ καί, κατ' Αἰσχύλον,

ἐξ ὀσφυαλγοῦς κὠδυνοσπάδος λυγροῦ
γέροντος

εὐπρεπής, θεοειδής, καλλίμορφος.

323.

Plutarchus de vita et poesi Homeri T. V. 3. p. 1196. ed. Wytt. ἃ δὲ παρακελευόμενον τῷ ἑταίρῳ τὸν Ἰδομενέα (immo Sarpedonem) πεποίηκεν, "ὦ πέπον, — ἠέ τις ἡμῖν" (Il. XII. 322—328.), Αἰσχύλος μὲν δεύτερος (Wytt. ἐμμέτρως, sequitur enim ἐν δὲ πεζῇ λέγει Δημοσθένης) λέγων οὕτως ἔφη,

ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν
θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου,
οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον.

324.

Strabo VI. p. 396. (258.) ὠνομάσθη δὲ Ῥήγιον, εἴθ', ὥς φησιν Αἰσχύλος, διὰ τὸ συμβὰν πάθος τῇ χώρᾳ ταύτῃ· ἀπορραγῆναι γὰρ ἀπὸ τῆς ἠπείρου τὴν Σικελίαν ὑπὸ σεισμῶν, ἄλλοι τε κἀκεῖνος εἴρηκεν·

ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται.

Pertinet fortasse ad Glaucum Pontium. V. Opusc. II. p. 69.

325.

Strabo VIII. p. 524. (341.) καὶ Αἰσχύλος

Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον.

Ex Strabone habet Eustathius p. 305, 34. (231, 20.)

326.

Strabo VIII. p. 593. (387.) τὴν δὲ χώραν Ῥυπίδα καλουμένην ἔσχον Αἰγιεῖς καὶ Φαρεῖς· καὶ Αἰσχύλος δὲ λέγει που

ἱεράν τε Βοῦραν καὶ κεραυνίας Ῥύπας.

Libri Βοῦραν θ' ἱεράν, quod Casaubonus emendavit. Photius p. 492, 10. Ῥύπες, πόλις τῶν Ὠλενίων Ἀχαιῶν. οὕτως Αἰσχύλος. Hesychius Ῥύπας, τοὺς ἐν τῇ Ἀρκαδίᾳ Ἀχαιούς.

327.

Strabo IX. p. 603. (393.) Σαλαμίς —. ἔχει δ' ὁμώνυμον πόλιν, τὴν μὲν ἀρχαίαν ἔρημον πρὸς Αἴγιναν τετραμμένην καὶ πρὸς νότον, καθάπερ καὶ Αἰσχύλος εἴρηκεν,

Αἴγινα δ' αὕτη πρὸς νότου κεῖται πνοάς.

328.

Aelianus Hist. an. XII. 8. ζῷόν ἐστιν ὁ πυραύστης, ὅπερ οὖν χαίρει μὲν τῇ λαμπηδόνι τοῦ πυρός, καὶ προσπέτεται τοῖς λύχνοις, ἐνακμαζούσῃ ἔτι τῇ φλογί, καὶ δοκεῖ τι λήψεσθαι· ἐμπεσὼν δὲ ὑπὸ ῥώμης εἶτα μέντοι καταπέφλεκται. μέμνηται δὲ αὐτοῦ καὶ Αἰσχύλος ὁ τῆς τραγῳδίας ποιητής, λέγων

δέδοικα μωρὸν κάρτα πυραύστου μόρον.

Afferunt hunc versum Suidas in v. *πυραύστου μόρον*, Zenobius V. 79. Meminit proverbii Apostolius XVI. 96. sed non nominato Aeschylo, nec versu apposito. Sic etiam Eustathius p. 1304, 8. (1418, 15.) Man. Philes carm. V. 464. *ἀλλὰ δεδοικὼς τῶν πυραυστῶν τὸν μόρον ὡς ἀφρόνων ἔλεγχον ἐκ παροιμίας τὸ φῶς ὁρῶ πῦρ.*

329.

Pollux VI. 80. *εἴποις δ' ἂν καὶ κοκκίσαι ῥόαν κατὰ Ἀριστοφάνην·*

ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.

τουτὶ δὲ τὸ ἰαμβεῖον Ἀριστοφάνης οὐκ ἴδιον ὂν εἴρηκεν, ἀλλ' ὡς Αἰσχύλου.

330.

Pollux VII. 60. *ἡ δὲ μανδύη ὅμοιόν τι τῷ καλουμένῳ φαινόλῃ· τινῶν δέ ἐστιν, ὡς μὴ περιεργώμεθα Κρῆτας ἢ Πέρσας, Αἰσχύλος ἐρεῖ,*

Λιβυρνικῆς μίμημα μανδύης χιτών.

Stephanus Byz. in v. *Λιβυρνοί* p. 415, 10. ed. Mein. *καὶ Λιβυρνικὴ μανδύη εἶδος ἐσθῆτος.*

331.

Pollux VII. 78. *ὅτι μέντοι καὶ τρίμιτα εἰργάζοντο, Αἰσχύλος διδάσκει, φήσας*

σὺ δὲ σπαθητοῖς τριμιτίνοις ὑφάσμασιν.

332.

Pollux X. 46. *ὁ παῖς πρόχουν τινὰ ἔχων προσοίσει, νεαροῦ τοῦ ὕδατος ἐπιχέων κατὰ λέβητος ἢ λουτηρίου τινός, ἐπεὶ καὶ τοῦτο τοὔνομα ἐπὶ μὲν τῶν λουτρῶν Αἰσχύλος εἴρηκεν, ἐπὶ δὲ τῶν νῦν λουτήρων Ἀναξίλας ἐν Λουτροποιῷ.* Idem VII. 167. *Αἰσχύλος δ' ἂν ἐοίκοι τὰ βαλανεῖα λουτήρια λέγειν·*

[λοῦταί γε μὲν δὴ λουτρὸν αὖ τὸ δεύτερον.]

ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων.

Sic Bekkerus edidit. Vulgo *λοῦταί γε μὴν λουτήριον αὐτό, δεύτερον*, codex Falckenburgii et, ut videtur, codices Bekkeri *λοῦταί γε μὲν δὴ λουτρὸν αὐτὸ δεύτερον.* Alter versus fortasse ex Glauco Pontio sumptus est; item alter, qui ad praecedens apud Pollucem vocabulum *λουτρόν* pertinet, si Aeschyli est. V. Opusc. II. p. 69.

333.

Aristides vol. II. p. 292, 15. ed. Iebb. (vol. II. p. 379. ed. Dind.) *μὴ μὲν οὖν ἔμοιγε κατ' Αἰσχύλον μήτε* (*τε* in uno codice a manu recentiore, eraso *μοι*) *παρασπιστὴς μήτ' ἐγγὺς εἴη ὅστις μὴ φίλος τῷ ἀνδρὶ τούτῳ μηδὲ τιμᾷ τὰ πρέποντα.* Aeschyli verba fuerunt

μὴ παρασπιστὴς ἐμοὶ
μήτ' ἐγγὺς εἴη.

334.

Ammonius p. 68. seq. *θεωρὸς καὶ θεατὴς διαφέρει. θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος, θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων. — καὶ Αἰσχύλος*

βοᾶς τοιοῦδε πράγματος θεωρὸς ὤν.

Valckenarius adnotat coniici posse Θέας, fuisse enim inter Aeschyli dramata Hypsipylen.

335.

Orio Etymol. p. 26, 4. τὰ εἰς ξ μὴ ὄντα ἐθνικὰ ὁμοίως λέγεται καὶ ἐπὶ θηλυκῶν. Αἰσχύλος

θέσποινα νύμφη δυσχίμων ὀρῶν ἄναξ.

Suidas ἄναξ θηλυκῶς. οὕτως Αἰσχύλος. Pertinuit fortasse ad Edonos. V. Opusc. V. p. 18.

336.

Photius p. 353, 17. ὀστράκων, τῶν τοῦ ᾠοῦ Αἰσχύλος. Hesychius ὀστράκων·

ἀπτῆνα, τυτθόν, ἄρτι γυμνον ὀστράκων.

ἀντὶ τοῦ ᾠῶν. τινὲς δὲ κελύφων. Legitur ἀπτὴν ἄτυτθον. V. Hemsterh. ad Lucianum T. I. p. 281.

337.

Etymol. M. p. 149, 56. ἄρταμος, ὁ μάγειρος. — παρὰ τὸ διαρτάσαι, ὅ ἐστι μερίσαι ἢ συναρμόσαι. Αἰσχύλος

τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον.

Hesychius διάρτασον, διάστειλον. Idem διαρτίζων, ἀρτία καὶ συνετὰ φθεγγόμενος. Vnde Maltby ad Morellium p. 237. διάρτισον scribendum esse coniicit.

338.

Etymol. M. p. 490, 10. καθόλου γὰρ τοὺς πωλοῦντάς τι καπήλους ἔλεγον. ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα καλεῖ κάπηλα·

κάπηλα προςφέρων τεχνήματα.

Eadem in Etymol. Gud. p. 298, 8. et in Crameri Anecd. Oxon. II. p. 456, 4. ubi προςφέρονται scriptum est ut in Etymol. Gud. et apud Suidam in v. κάπηλος, ubi προφέρων scriptum est ut in codicibus Etymologici M. praeter unum Parisiensem.

339.

Porphyrius in scholiis Venetis ad Il. XIV. 200. p. 392. B. v. 25. ed. Bekk. ὁμοίως δὲ καὶ Αἰσχύλος τὰς ἐν κύκλῳ ἑστώσας ἐν ἀπείρονι σχήματί φησιν ἵστασθαι·

ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας
κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι
εὔξασθε.

τοῦτο δέ ἐστιν ἐν τάξει κατὰ κύκλον. ὁ γὰρ λόχος ἐστὶ τάξις, ἐπεὶ καὶ ὁ λοχαγὸς ταξίαρχος. Legitur παρίστατε. Eadem habent scholia Ambrosiana ad Od. I. 98. ubi περίστατε scriptum est. Sumpti sunt fortasse hi versus ex Danaidibus. V. Opusc. II. p. 324. seq.

340.

Scholiastes Homeri ad Il. XVI. 542. Αἰσχύλος

ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῶνδε καρτερωτέρα;

In scholiis Vossianis apud Valckenarium in diss. de scholiis in Hom. ineditis p. 131. (Opusc. ed. Erf. T. II. p. 134.) scriptum est *δίκαι*.

341.

Eustathius p. 641, 58. (501, 40.) docens *ἔτης* dici leni spiritu, *Αἰσχύλος γάρ φησιν*

οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ.

342.

Eustathius p. 706, 49. (590. 27.) *ἔτι δέ φασιν ὡς, εἴπερ ἦν τέθριππον, καὶ δύο ἂν εἶχε ῥυμούς, ὡς Αἰσχύλος φησὶν*

ἐν διῤῥυμίᾳ
πῶλοι.

Pertinuit fortasse ad Glaucum Potniensem. V. Opusc. II. p. 64.

343.

Eustathius p. 1157, 34. (1214, 14.) *Αἰσχύλος δέ φησι καὶ τὴν τάφρον αὐλῶνα, ἔνθα καὶ φιμοὺς λέγει αὐλωτούς, διὰ τὸ κώδωνας, φησί, προςῆφθαι αὐτοῖς, οἷς ἐμφυσῶντες οἱ ἵπποι ὡς φωνὴν σάλπιγγος προΐεντο. γράφει οὖν οὕτως,*

ὃς εἶχε πώλους τέσσαρας ζυγηφόρους,
φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας.

Hesychius *αὐλωτοὶ φιμοί, οἱ κημοί. διὰ τὸ τοῖς κημοῖς κώδωνας προςῆφθαι, εἰς οὓς ἐμφυσῶντες οἱ ἵπποι φωνὴν σάλπιγγος προΐεντο.* Pertinuerunt haec fortasse ad Glaucum Potniensem. V. Opusc. II. p. 64.

344.

Eustathius p. 1625, 44. (350, 11.) *καὶ Αἰσχύλος*

λεοντοχόρταν βούβαλιν νεαίτερον.

Ex Eustathio habet Favorinus in v. *τράγοι*. Corrigunt *νεαίρετον*. Potuit huic versui locus esse in Glauco Potniensi. V. Opusc. II. p. 63.

345.

Scholiastes Pindari ad Pyth. II. 18. *ἐναγώνιος δὲ ὁ Ἑρμῆς ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος φησίν,*

ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ.

346.

Scholiastes Pindari ad Nem. X. 31. *λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν. καὶ Αἰσχύλος*

Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ.

ἔστι γὰρ αὐτὴ γαμηλία καὶ ζυγία.

347.

Scholiastes Sophoclis ad Oed. R. 733. *περὶ Δαυλίδα φησὶ τὴν σχιστὴν ὁδόν· ὁ δὲ Αἰσχύλος περὶ Ποτνίας οὕτως,*

ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον
σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς
τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν.

Fortasse scribendum *οὕτως ἐπῆμεν γῆς ὅρους, τρ.* Valckenario ad Eur. Phoen. v. 38. haec in Oedipo Aeschyli scripta videbantur. Vereor ne, ut Spanhemius putabat, ex Glauco Potniensi petita sint. V. Opusc. VII. p. 194. seq.

348.

Scholiastes Sophoclis ad Oed. Col. 1047. *ἢ λαμπάσιν ἀκταῖς — θνητοῖσιν. τὰ περὶ Ἐλευσῖνα τέλη* (supra scriptum *μέρη*) *φησί, καὶ εἴη λαμπάσιν ἀκταῖς ταῖς λαμπαδευομέναις καὶ καταλαμπομέναις καὶ δᾳδουχουμέναις ὑπὸ τῆς μυστικῆς φλογὸς καὶ τῶν ἱερῶν δᾴδων, περὶ ὧν Αἰσχύλος φησίν*

λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σέλας.

Pertinuit fortasse ad Eleusinios.

349.

Scholiastes Sophoclis ad Oed. Col. 1049. *τέλη δέ, τὰς τελετάς. καὶ Αἰσχύλος*

ἔφριξ', ἔρως δὲ τοῦδε μυστικοῦ τέλους.

Brunkius *ἔφριξ' ἔρωτι.* Si Aeschylus ita scripsit, sumpsit hoc ab eo Sophocles quum dixit Ai. 693. *ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτόμαν.* Sed Dindorfio in adn. ad hunc Aiacis versum p. 312. ed. Oxon. Aeschylus scripsisse videtur *ἔφριξ'· ἐρῶ δὲ τοῦδε μυστικοῦ τέλους.*

350.

Scholiastes Sophoclis ad Electrae v. 286. *ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος*

οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα.

Scholiastes Victorii ad Il. XXIII. 10. *Αἰσχύλος*

οἵ τοι στεναγμοὶ τῶν πόνων ἰάματα.

Scribendum videtur *οἵ τοι στεναγμοὶ τῶν πόνων ἐρύσματα.* Hom. h. Cer. 230. *οἶδα δ' ἐπηλυσίης πολυπήμονος ἐσθλὸν ἐρυσμόν.*

351.

Scholiastes Aristophanis ad Nub. 1128. et schol. codicis Medicei ad Theocr. XV. 48. *Αἰσχύλος*

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

Sine auctore habent hoc proverbium Stephanus Byz. in v. *Αἴγυπτος,* Zenobius III. 37. Diogenianus IV. 35. Suidas in v. *δεινοί,* Apostolius VI. 94. Fortasse sumptum est ex Danaidibus. V. Opusc. II. p. 333.

352.

Scholiastes Aristophanis ad Nub. 1367. (ad illud *ἔπειτα δ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα τῶν Αἰσχύλου λέξαι τί μοι·*) *μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου, ὥςπερ τὰ Ὁμήρου μετὰ δάφνης. παρὰ τὸ Αἰσχύλου*

οὕνεκ' ἐκεῖ

ἄνθεα λειμώνια.

Non expediam.

353.

Scholiastes Aristophanis in cod. Rav. et Bar. ad Lysistr. 1259. *πολὺς δ'*

ἀμφὶ τὰς γένυας· πρὸς τὸ παρὰ τῷ Ἀρχιλόχῳ "πολλὸς δ' ἀφρὸς ἦν περὶ στόμα." καὶ Σοφοκλῆς. Αἰσχύλος δὲ

ἀφρὸς
βορᾶς βροτείας ἐρρύη κατὰ στόμα.

Codices *ἐρρυηκότα*, quod Porsonus emendavit.

354.

Harpocratio *θεοίνια· Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν πρὸς Κοιρωνίδας. τὰ κατὰ δήμους Διονύσια Θεοίνια ἐλέγετο, ἐν οἷς οἱ γεννῆται ἐπέθυον· τὸν γὰρ Διόνυσον Θέοινον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος καὶ Ἴστρος ἐν α' Συναγωγῶν.* Tzetzes ad Lycophr. 1247. *Θέοινος· ὁ αὐτός* (Bacchus), *ὡς θεὸς οἴνου εὑρετής. καὶ Αἰσχύλος φησίν*

πάτερ Θέοινε, Μαινάδων ζευκτήριε.

355.

Scholiastes Theocriti ad II. 36. *ἱδρύοντο δὲ αὐτὴν* (Hecatam) *καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος,*

δέσποιν' Ἑκάτη
τῶν βασιλείων πρόδομος μελάθρων.

Codices praeter unum *πρόδρομος*. Aristides vol. I. p. 17, 1. ed. Iebb. *ἀλλ' ὦ τῶν βασιλείων πρόδομος* (codices *πρόδρομος*) *μελάθρων, Αἰσχύλῳ χορὸς ᾖσε, τῶν τε οὐρανίων καὶ πατρῴων καὶ τῶν ἐν τῇ ἡμετέρᾳ μεγίστων, ἃ νύκτωρ μοι προὔφαινες, δίδου μὲν τιμὰς παρ' ἀμφοτέρων τῶν βασιλέων, δίδου δὲ ἄκρον εἶναι φρονεῖν καὶ λέγειν.*

356.

Scholiastes Apollonii Rhodii ad IV. 1348. *στέρφος δέ ἐστι τὸ δέρμα. ὅθεν καὶ τὸ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. διὸ καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν*

μελανοστέρφων γένος,

ἀλλ' οὐ μελανοστέρνων· οὐ γὰρ μόνον τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. Pertinuit hoc fortasse ad anapaestos quibus initium factum erat Promethei Soluti. V. Opusc. IV. p. 269.

357.

Stephanus Byzantius *Ὤλενος, πόλις Ἀχαΐας καὶ Αἰτωλίας, θηλυκῶς λεγομένη. Αἰσχύλος γραύσιον*

τὴν αἰπεινὴν ζαθέαν Ὤλενον.

Corruptum *γραύσιον*, pro quo cod. Vossianus *τραύσιον* habet, Meinekius in *Καρσίν* mutat.

358.

